Τίς πυρὶ πῦρ ἐδάμασε; τίς ἔσβεσε λαμπάδι πυρσόν;
Τίς κατ' ἐμῆς νοὸς ἐτέρῳ ἐτανύσατο νοὸς ὀιστόν;
Κἀγὼ ἔρως κατ' ἔρωτος ἐμῷ μηδὲ ἰσοφαρίζω.

ΜΟΣΧΟΥ ἔρως δραπέτης.

Α κύπρις τὸν ἔρωτα τὸν υἱέα μακρὸν ἐβώστρει.
Εἴτις ἐνὶ τριόδοισι πλανώμενον εἶδεν ἔρωτα,
Δραπετίδας ἐμός ἐστιν. ὁ μανυτὰς γέρας ἕξει. (νιν,
Μισθός τοι τὸ φίλαμα τὸ κύπριδος· ἢν δ' ἀγάγῃς
Οὐ γυμνὸν τὸ φίλαμα, τὺ δ' ὦ ξένε καὶ πλέον ἕξεις.
Εστι δ' ὁ παῖς πρίσαμος· ἐν εἰκόσι πᾶσι μάθοις νιν·
Χρῶτα μὲν οὐ λευκὸς, πυρὶ δ' εἴκελος· ὄμματα δ' αὐτοῦ,
Δριμύλα καὶ φλογόεντα. κακαὶ φρένες, ἁδὺ λάλη-
Οὐ γὰρ ἴσον νοέει καὶ φθέγγεται. ὡς μέλι, φωνά· (μα·
Ην δὲ χολᾷ, νόος ἐστὶν ἀνάμερος, ἢ προπευτὰς,
Οὐδὲν ἀλαθεύων. δόλιον βρέφος, ἄγρια παίσδει.
Εὐπλόκαμον τὸ κάρανον, ἔχει δ' ἰταμὸν τὸ πρόσωπον.
Μικκύλα μὲν τήνῳ τὰ χερύδρια, μακρὰ δὲ βαλλεῖ·
Βαλλεῖ κεἰς ἀχέροντα, καὶ εἰς ἀΐδεω βασιλῆα.
Γυμνὸς μὲν τόγε σῶμα, νόος δέ οἱ ἐμπεπύκασται.
Καὶ πτερόεις ὅσον ὄρνις ἐφίπταται ἀλλότ' ἐπ' ἀλλοῦς
Ανέρας, ἠδὲ γυναῖκας. ἐπὶ σπλάγχνοις δὲ κάθηται.
Τόξον ἔχει μάλα βαιὸν, ὑπὲρ τόξω δὲ βέλεμνον.
Τυτθὸν ἑοῖ τὸ βέλεμνον, ἐς αἰθέρα δ' ἄχρι φορεῖται·
Καὶ χρύσεον περὶ νῶτα φαρέτριον· ἔνδοθι δ' ἐντὶ
Τοὶ πικροὶ κάλαμοι, τοῖς πολλάκι κἀμὲ τιτρώσκει.
Πάντα μὲν ἄγρια, πάντα· πολὺ πλεῖον δέ οἱ αὐτῷ
Βαιὰ λαμπὰς ἐοῖσα τὸν ἅλιον αὐτὸν ἀναίθει.
Ην τύ γ' ἕλῃς τῆνον, δάσας ἄγε, μηδ' ἐλεήσῃς.
Κἢν ποτ' ἴδῃς κλαίοντα, φυλάσσεο μή σε πλανήσῃ·
Κἢν γελάᾳ, τύ νιν ἕλκε· καὶ ἢν ἐθέλῃ σε φιλᾶσαι,
Φεῦγε· κακὸν τὸ φίλαμα, τὰ χείλεα φάρμακον ἐντί.
Ην δὲ λέγῃ, λάβε ταῦτα, χαρίζομαι ὅσσα μοι ὅπλα,
Μή τι θίγῃς. πλάνα δῶρα· τὰ γὰρ πυρὶ πάντα βέβα-
Τίνας ἂν εἴποι λόγους πρὸς ἔρωτα πᾶσι- (πται.
φάη ἐρῶσα τοῦ ταύρου.

Εἰ ποθέειν μ' ἐδίδαξας ἐν οὔρεσι ταῦρον ἀλήτην,
Μυκηθμόν με δίδαξον, ὅπως φίλον ἄνδρα καλέσσω.

ΛΟΥΚΙΑΝΟΥ.

Οὐχ ὁ ἔρως ἀδικεῖ μερόπων γένος, ἀλλ' ἀκολάστοις
Ψυχαῖς ἀνθρώπων ἔσθ' ὁ ἔρως πρόφασις.

Αδηλον.

Παρθενικῷ θρᾱσύδουλε σαγηνευθεὶς ὑπ' ἔρωτι
Ασθμαίνεις, δελφὶς ὥς τις ἐπ' αἰγιαλοῦ,
Κύματος ἱμείρων. δρέπανον δέ σοι οὐδὲ τὸ πῑρσέως
Αρκεῖ ἀποτμῆξαι δίκτυον ᾧ δέδεσαι.

Αδηλον.

Ερωτα παύει λιμός· εἰ δὲ μή, χρόνος.
Εὰν δὲ μηδὲ ταῦτα τὴν φλόγα σβέσῃ,
Θεραπεία σοι τολοιπὸν ἠρτήσθω βρόχος.

ΖΗΝΟΔΟΤΟΥ.

Τίς γλύψας τὸν ἔρωτα παρὰ κρήνῃσιν ἔθηκεν,
Οἰόμενος παύσειν τοῦτο τὸ πῦρ ὕδατι;

ΕΙΣ ΕΥΣΕΒΕΙΑΝ, κετὰ κητ

ΚΑΡΠΥΛΛΙΔΟΥ.

Ιχθύας ἀγκίστρῳ τις ἀπ' ἠόνος εὐτρίχι βάλλων,
Εἵλκυσε ναυηγοῦ κρᾶτα λιποτριχέα.
Οἰκτείρας δὲ νέκυν τὸν ἀσωματὸν, ἐξ ἀσιδήρου
Χειρὸς ἐπισκάπτων, λιτὸν ἔχωσε τάφον.
Εὗρε δὲ κευθόμενον χρυσοῦ κτέαρ. ἦ ῥα δικαίοις
Ανδράσιν εὐσεβίης οὐκ ἀπόλωλε χάρις.

ΘΕΟΚΡΙΤΟΥ.

Οἴκῳ ἐν ἀμφικλέους, ᾧ καὶ τέκνα καὶ βίον ἔσχε
Ξυνὸν, ἀεὶ δέ σφιν λωΐον εἰς ἔτος ἦν,
Εκ σέθεν ἀρχομένοις, ὦ πότνια, κηδόμενοι γὰρ
Αθανάτων, αὐτοὶ πλεῖον ἔχουσι βροτοί.

ΚΡΙΝΑΓΟΡΟΥ.

Εἰ καί σοι ἑδραῖος ἀεὶ βίος, οὐδὲ θάλασσαν
Επλως, χερσαίας τ' οὐκ ἐπάτησας ὁδοὺς,
Εμπης κεκροπίης ἐπιβήμεναι ὄφρ' ἐν ἐκείναις
Δημητρος μεγάλας νυκτὰς ἴδῃς ἱερῶν.

Τῶν ἀπο, καὶ ζωοῖσιν ἀκηδέα, κεὖτ' αἰ ἴκηαι
Ἐς πλεόνων, ἔξοχ' ἐμὸν ἐλαφρότερον.

ΕΙΣ ΕΥΤΥΧΙΑΝ, κξδ κθζ

ΑΝΤΙΠΑΤΡΟΥ.

Ἡ καὶ ἔτ' ἐν βρέφεος κεῖμαι μόνη αὐτοδαὴς,
Πορφυρέων παφίης νοσφισθεῖσα χροιδίων·
Ἡ ταχεῖαν λιβάσουσα κόρῃς μαλακώτερον ὕπνον,
Λεπτὸς ἀλκυόνων τερπνὸν ἄμυρμα μέλπω·
Ὑδατίνοις φορέουσα βαρυνομένη μονιὸς ὀσμαῖς
Οὐ λάχεν· (ὦ δόλιον τοῦτο λαθεσίχαλον)
Ἰταλίην ἡμείψεν, ἵνα πολεμοῖο καὶ ἀϊχμῆς
Ἀμπαυσὴ ῥώμῃ μαλθακὴν χαίρει.

ΑΝΤΙΦΙΛΟΥ.

Ἐκ θοίνης φάος ἔβαλεν ἐπ' ἀγκάδα μηκάδος ἰούσας,
Ἐκ δ' ἔφαλτο τυφλὸν μηκέτ' ἔχουσα χρέος.
Διὰ τῶν τὴν ἑτέρωθι δ' ἐκέντησεν ὀξὺς ἀκωκὴ
Ὀζος. ἰδὼν ὡς τέχνης δένδρον ἐνεργότερον.

ΑΔΗΛΟΝ.

Ὅταν θέλῃς τὴν ἡμέραν ἰδεῖν καλήν,
Σιωπηλὸς ἐγρηγόρει καὶ νήφων ἴσθι·
Τὸν αὖθις ἄνδρα δέ, κἂν τις εἰ μέλλῃ πατεῖν,
Μὴ τυφλὸν ἐγρηγόρει καὶ νήφων ἴσθι.

ΕΙΣ ΕΥΧΑΡΙΣΤΟΥΣ, ΚΑΙ ἀφελείσους, κξδ λζ

ΑΝΤΙΠΑΤΡΟΥ.

Ἀντίπατρος πείσωνι χρυσέθλιον ὦπασε βίβλον
Μίκρων, ὃν δὲ μὴ νυκτὶ πονησάμενος.
Ἴλαος ἀλλὰ δέχοιτο, καὶ ἀγνώσσειεν ἀοιδὸν
Ζῆνις μέγας, ὡς ὀλίγῳ πειθόμενος λιβανῳ.

ΛΟΥΚΙΑΝΟΥ.

Ὦ χειρὶ χάριτες, γλυκερώτεραι ὦ δὲ βραδυῶν
Πᾶσα χάρις, κενεή, μηδὲ λέγοιτο χάρις.

Ἀδέσποτον.

Τὸν λύκον ἐξ ἰδίων μαζὸν τρέφω οὐκ ἐθέλουσα,
Ἀλλά μ' ἀναγκάζει ποιμένος ἀφροσύνη.
Αὐξηθεὶς δ' ὑπ' ἐμοῦ, καὶ ἐμοὶ πάλι θηρίον ἔσῃ.
Ἦ χάρις ἀλλαξαι τὴν φύσιν ἀθρόαν.

ΛΟΥΚΙΑΝΟΥ.

Φαῦλος ἀνήρ, πίθος ἐξ πεπλημμύρος· εἰς ὃν ἅπασα
Ἀντλεῖται χάρις, εἰς κενὸν ἐκχέεται.

Τίνας αἰεί ποτε λήθοις κύτταμμήτρα, μέλλοντος αὐτὸν σφάζειν ὄρεσσιν.
Ἦ ξίφος ἰθύνεις; ἢ χάλκερος, ἢ καὶ μάγειρος;
Γαστήρ, ἣ σ' ἐλέγχουσιν, ἀνέφθη δὲ μάγοις.

ΑΓΑΘΙΟΥ σχολαστικοῦ εἰς τὸν ἐν Ἰλίῳ ναὸν Ἀθηνᾶς.

Ἰλήκοις πολιοῦχε, σεμνὸν ἐξουσαγεῖ νηῶ,
Ὡς θέμις, ἢ πλήμμυρις Ἰλιὸς ἦν ἁσάμιλλος,
Ἀλλά σύ με προσέλεξο πασῶν ἑλωείων· αὐτὴ δὲ μόλου
Πᾶσθαι ἀπεδρέπω τείχεος ἀγλαΐην.
Ἄρχιον ἰὼν θήσεις ἐν βουλῇ τὸν βουλῆα· εἰ δ' ἀθεσμὸς ὁ νόμος
Ἔπλεο, τῆς πάτρης οὐκ ἀλίτημα τόδε.

ΕΙΣ ΕΥΧΗΝ,

ΙΟΥΛΙΟΥ ΠΟΛΥΑΙΝΟΥ.

Εἰ καί σευ πολύφωνος ἀεὶ πίμπλησιν ἀκουὰς
Ἡ φόβος ἀθρόμβων, ἢ καὶ ἐρὶς ἀθξαμβώων,
Ζεῦ, σὲ λιτῆς ἐφέπων ἱερὸν πέδον, ἀλλὰ καὶ ἡμέων
Κλῦθι, καὶ ἀψευδεῖ νεῦσον ἐπουρίσματι,
Ἤδη μοι ξεινὴς εἰ πέρας, ἢν δέ με πάσῃ
Ζώσῃ τὴν δολιχὸν παυσάμενον κάματον.

ΚΑΛΛΙΝΙΟΥ.

Πρηΰς, ἅπασι, καὶ φέλτερος ἰδεῖν, καὶ παῖδα τεκέσθαι
Εὐξαμένῃ, δοίης ἐμμορέειν ἀτυχίης·
Τὸν δὲ ἀθυμοῦντα ἐλπὶς μετ' οὐ πολύ, καὶ πεπόθητον
Αὐτῆμαρ γλυκερὸν φέγγος ἐσείδε φάους.

Ἄρτεμις ἀμφοτέροισιν ὑπήκοος, ἥ τε λοχείης
Μᾶλα, καὶ ἀγρώνων φωσφόρος ἠδὲ σελάων.

ΔΙΟΔΩΡΟΥ.

Ἀδρηστείά τε δία καὶ ἱππαίη σε φυλάσσοι
Παρθένος, ἡ πολλοῖς ψευσαμένη νέμεσις.
Δείδια σὸν τε φυὴν ἐρατὸν τύπον, ἠδὲ σὰ κοῦρε
Δίωξα, θεσπεσίης καὶ μύθος ἰωρέης,
Καὶ σοφίῃ, καὶ μητιν ὑπέφερνα. φιὰ δὲ τέκνα,
Θεῦσε, πελὼν μακάρων πολὺ δώμ' ἀθανάτων.

Ἀδέσποτον.

Ζεῦ βασιλεῦ, τὰ μὲν ἐσθλὰ καὶ εὐχόμενοις καὶ ἀεύκτοις
Ἄμμι δίδου· τὰ δ' ὄλυξα καὶ εὐχομένων ἀπόρυκοις.

ΦΙΛΟΔΗΜΟΥ.

Κύπρι γαληναίη, φιλομμείδιε, κύπρι δικταίη,
Σύμμαχε, κύπρι, ποδῶν μήτηρ ἀμφιπόδων.
Κύπρι, τὸν ἡμιθέωτον ἀπὸ χροιῆς ἐμὲ πάσης,
Τὸν χλοεροῖς λυγίοις κεῖσαι νιφόμενον,
Κύπρι, τὸν ἠΐθεον με, τὸν οὐδένι κωφὰ λαλοῦντα,
Τὸν στεροπορφυρέῳ κλυζόμενον πελάγει,
Κύπρι φιλορμίσφεα, φίλορμε, σῶζε με κύπρι
Ῥωμαιχθεῖς ἤδη δεκάτοις ἐπὶ λιμένας.

ΦΙΛΙΠΠΟΥ.

Ὅτ' οὐ ζάκυνθος λίβυος, οὐ ζάκυνθος νότου
Σμύρνης ὀφθαλμὸν πόντος, οὐ δὲ νάσσατον
Μυκὼν βυθῖτις λαμπὸς ἐξηρύγετο,
Ἰσθμὸς δὲ πᾶς ὠλισθεν εἰς ἁλὸς σάλους,
Φορτὶς δ' ἐσύρετ' ἐς αἰόλον πλανώμενος,
Ἀργοναύτας δαίμονας λεισιάνασσα
Ἔλιπρήσεν· οἱ δὲ πᾶς γεγηθότες
Μοιώσῳ θαλάσσης ἀγέλαν ἐκείμισαν.

ΙΟΥΛΙΑΝΟΥ.

Πολλάκις ὐζαρθίῳ μοι ἀεὶ θυμῆρες ἐδωκας
Τέκμωρ ἀκιμήτου ζεῦ πάτερ ὐπλοίης.

Δοίης μοι καὶ τὸν ἐπὶ πλοῦν, ἢ δὲ σαώσας
Ἥδη, κἀκ καμάτων ὁρμίσαι εἰς λιμένας.

ΕΙΣ ΕΧΘΡΟΥΣ, κεζ λβζ

ΣΤΑΤΥΛΛΙΟΥ ΦΛΑΚΚΟΥ.

Γέγλημον ἰωὴν κατὰ πολυξείνης ὑμέναιον
Ἤυσεν ὁ κωτοδ πύρρος ὑπὸ δὲ τὰ φοῦ,
Ὧ δὲ πολυκλαύστοιο κόμας λαχίσασα καρήνου
Κωνὶς τεχέων κλαυστὰ φόνοις ἐκάβη.
Γέρασθε μ' ἀξονίοις φῆτον ἐρύσασ' ἐκτορα δεσμοῖς,
Νῦν δὲ πολυξείνης αἷμα δέχη φθίμενος
Αἰακίδη. τί σοὶ τόν ἐμὸν ὦ δύσανορ ἄνδρα;
Γαστὶν ἔφις καὶ δὲ μοῖς ἵππιος οὐδὲ νέκυς.

ΑΝΤΙΦΙΛΟΥ.

Πορφυρέαν τοι τάνδε λεοντίδα πάσατε χλαῖναν
Ξέρξης, ταρβήσας ἔργα τεᾶς ἀρετᾶς.
Οὐ δέχομαι· τοῦ θοίτας αὐτὰ χαρεῖς· ἀσπὶς ἔμοὶ μὲ
Καὶ νέκυν· ὁ πλοῦτος δ' οὐκ ἐμὸν οὐ τάφιον.
Ἀλλ' ἔθανες. τί σοὶ καὶ τὸ νεκύεσσιν ἀπειθὲς
Γέρας; ἢ θνᾴσκειν ζώοις ἐλεύθερίας.

ΑΒΒΙΑΝΟΥ.

Εἰ μὴ τοὺς ἀπὸ δ' ἄλφα μόνους κεχρῆσο καπυρώσειν
Δέκτε βάλ' ὡς, καὶ τὸν ἀδελφοῦ ἔχῃς.
Εἰ δὲ (φωρ βούλῃ τὸν ὄφιν) κτ στοιχεῖον ὁδοῦς,
Ἤδη σοι τὸ θέλεγον, ὦ εἰ γλῶσσ' ἐλέγομεν.

ΕΙΣ ΖΩΑ, κεζ λγζ

ΓΟΛΥΑΙΝΟΥ.

Δορκάδος ἀρτιτόκοιο λιθοπτήκτου ὕδωρ
Ἐμπλέον εἰδῦσα πικρὸν ἔτυψεν ἔγις.
Νεβρὸς δ' ἰομιγῆ πλήσσων ἀσάσατο καὶ ὁ δύσαλγὴς
Τραύματος ἐξόλλυτο πικρὸν ἐρωὴν γάλα.
Ἀδῖνα δ' ἀλλάξαντο, καὶ ἀντίκα μηλείη μοῖρα
Ἦν ἔπορεν γαστήρ, μαζὸς ἀφεῖλε γάλα.

ΤΥΒΕΡΙΟΥ ΙΑΛΟΥ.

Κεμμάδος ἀρλιτόκευμα ζῆς βρίθουσι γάλακτος
Φογίη δακετῶν ἰὸν ἔνηκεν ἔλης,
Φάρμακον ἡ ἰὼ μηδὲς γάλα νεβρὸς ἀμέλξας,
Χείλεσι τὸν κείνης ἐξέπιεν θάνατον.

Τοῦ αὐτοῦ.

Οὐ κύνες, οὐ γάλικές με κατίσυσαν, οὐ λύκοι ἄγριοι,
Δορκάδα τ' ἠὲ χίης εἰν ἁλὶ πλῆσαν μόρον.
Ἐξ ὕλης ποντῶν δ' ἐπέδραμον· εἶτά με πλέκτοις
Ἕλκον ἐπ' ἀγκάλαις δικτυβόλων παίδες.
Ἥλιτον, ἡ χέρσοιο ματεῦν φυγάς· οὐκ ἀδίκως με
Εἷλε γαλαθυτὴς γάμα λιποῦσαν ὄρη.
Οὔποτ' ἀλιεὺς ἁλιπλὴς ἐτ' ἀσχολον οἴσεται χεῖρα,
Χέρσῳ καὶ πελάγει κοινὰ πλεχθέντες ὕφη.

ΦΙΛΙΠΠΟΥ.

Νηδυβειδομάχῳ δάμασεν λεπτοῖσι κύρης.
Σῆσαν νηοχόροι, θῦμα χαριζόμενοι.
Ἧς ἀΐδῳ μνήσονται ὅσ' ἔφθασεν βύσσος ὠδῖς·
Πέμφθη δ' εἰς ἀγέλιον τεκνοφόνῳ ἄφετος.
Ἦθος, ὠδίνων δ' ὀπίσω πόος, οὐδ' ἐδίκαζε
Τίκτουσας κλείνῳ ἃς ἔλεφ' ἕμαθεν.

Τοῦ αὐτοῦ.

Τὰ μὲν ὀρνιθοτένοντες, ἑοὶ σὺν τῆρες ἀγρης,
Εἰν ἁλὶ τοὶς γαίης ἀντέχομεν καμάτοις.
Ἄγκυρα τὴν ἀσίδηρον ἐν ὕδασιν ἕλκομεν ἄμφω,
Μακροτέρων ὀρίνων ἄμμα σαγηνόδετον.
Ἰχθύσι δ' ἐκ σαγόνων λατεύομεν οἱ θαλάεργοι.
Ἦ δὴ καὶ πελάγη καρπὸν ἀροῦσι βόες.

ΑΡΧΙΟΥ.

Οὐ μόνον θὰ ἄροτον βόες οἴδαμεν ἄγκυρα τέμνειν,
Ἀλλ' (ἴδε) καὶ κατὰ πόντου νῆας ἀφελκόμεθα.
Ἔργα δ' εἰρήνης δεδιδάγμεθα. καὶ σὺ θάλασσα
Δῆφινας γαίῃ ζεῦξον ἀροῦ φορέειν.

ΓΕΡΜΑΝΙΚΟΥ καίσαρος.

Ὁ ὕρεος ἐξ ὑπάτοιο λαγὼς πέσεν ἐς ποτε βένθος,
Ἑκὰς φοβηθεὶς μεμαὼς ζηχμὴν ὀδόντα κυνός.
Ἀλλ' οὐδ' ὣς ἤλυξε κακὴν μόρον· αὐτίκα γάρ μιν
Ἐναλίου μάρψας πνεύματος ὠρφάνισεν.
Ἑκ πυρὸς ὡς αὖθις πέσες ἐς φλόγας. ἦ ῥά σε δαίμων
Κήν ἁλί, κήν χέρσῳ θρέψει κύνεσσι βορήν.

Τοῦ αὐτοῦ.

Ἑκ κυνὸς εἶλε κύων με. τί δ' ξένον; εἰς ἐμὲ θῆρες
Γηγενὲς καὶ πεζοὶ θυμὸν ἔχουσιν ἕνα.
Ἀλλὰ λοιπὸν ἔχοιτε λαγοὶ βατόν. ἀλλὰ φοβεῖσθε
Οὐρανέ, καὶ σὺ φέρῃς ἀστερόεντα κύνα.

ΤΙΒΕΡΙΟΥ.

Δίκλυον ἐκθρώσκοντα πολύπλοκον ἄγρι λαγωὸν
Σὺν κύων θερμοῖς ἴχνεσιν ὠκυπόδων.
Τρηχὺ δ' ἐκνεύσας ταχινὰς πάρον, ἐς βαθὺ πόν
Ἡλατ', ἀγυσκάζων κῦμα θαλασσίδιον. (του
Ἐναλίους τὸν δ' ἅψα κύων βρυχηδὸν ὀδοῦσι
Μάρψε. κυσὶ τλήμων ὢ ἄρ' ὀφελόμην.

ΦΙΛΙΠΠΟΥ.

Νηὸς ἐπειγομένης ὠκὺν δρόμον ἀμφεχόρευον
Δελφῖνες, πελάγεες ἰχθυφάγοι σκύλακες·
Καπροφόνος δ' ὑὸν θηρὸς κείνοις ἐκέλευσας,
Δίμοιρος, ὡς ὅτε γῆν εἰς βυθὸν ἐξέθορεν.
Ὤλετο δ' ἀλλοτείης θήρης χάριν. οὐ γὰρ ἐλαφρὸς
Γ' αὐτῶν ὅστις κύων ὁ δρόμος ἐν πελάγει.

Τοῦ αὐτοῦ.

Ὠκείαις ἐλάφοισι κύων ἰσάμιλλα δραμοῦσα
Ἔγκυος ἡλώθη παιδοπόρον θ' ἡμέσιν.
Πᾶσα δὲ συγκατέμυσε, καὶ ὠλωτεῖσα χρόνοισιν.
Ἤδη δ' ἠθεετῶν ὤφελος ἐὼ βάσανος.
Πολλὰ δ' ἐπωρύουσαν αὐὴρ ἐσιδὼν ἐτόμησεν,
Καὶ σκύλακες φίλοι νηδύος ἐξέθορον.

Αρτέμιδος λέλυται λοχίων χάρις· ἔμπαλι δ' ἄρης
Ηρκται μαιοῦσθαι γαστέρας ἡμετέρας.

ΑΝΤΙΠΑΤΡΟΥ.

Θηρευτὴν λάμπωνα μίδου κύνα δίψα κατέκτα,
Καὶ πρὸς ὑπὲρ ψυχῆς πολλὰ πονησάμενον.
Γοσσὶ γὰρ ὤρυσσεν νοτερὸν πέδον· ἀλλὰ τὸ νωθὲς
Γίδακος ἐκ τυφλῆς οὐκ ἐτάχυνεν ὕδωρ.
Πίπτε δ' ἀπαυδήσας· αἱ δ' ἔβλυσε πάρα νύμφαι.
Λάμπωνι κταμένῳ μῆνιν ἔθεσθ' ἐλάφων.

ΑΡΧΙΟΥ.

Ο πρὶν ἀελλοπόδων λάμψας πλέον αἰετὸς ἵππων,
Ο πρὶν ὑπαὶ μίτραις κῶλα καθαψάμενος,
Ον φοίβου χρησμῳδὸς ἀέθλιον ἔστεφε πυθώ,
Ορνύμενον πτανοῖς ὠκυπέταις ἴκελον,
Καὶ νεμέη βλοσυροῖο τιθηνήτειρα λέοντος,
Γῖσά τε, καὶ δοιὰς ἠόνας ἰσθμὸς ἔχων·
Νῦν κλοιῷ δειρὴν πεπεδημένος, οἷα χαλινῷ,
Καρπὸν ἐλᾷ δηοῦς ὀκρυόεντι λίθῳ·
Ισην μοῖραν ἔχων ἡρακλεῖ· καὶ γὰρ ἐκεῖνος
Τόσσ' ἀνύσας, δούλην ζεῦγλαν ἐφηρμόσατο.

Αδηλον.

Σοὶ πατρὶ θεσσαλίη πωλοτρόφε μέμψιν ἀνάπτω
Γήγασος, ὡς ἀδίκου τέρματος ἠντίασα.
Ος πυθοῖ, κὴν ἰσθμῷ ἐκώμασα, κὴπὶ νεμεῖον
Ζῆνα καὶ ἀρκαδικοὺς ἤλυθον ἀκρέμονας.
Νῦν δὲ βάρος πέτρης νισυρήτιδος ἔγκυκλον ἕλκω,
Λεπτυνῶν δηοῦς καρπὸν ἀπ' ἀσταχύων.

ΒΙΑΝΟΡΟΣ.

Γῶλον τῶν πεδίων, ἀλλ' οὐχ ἁλὸς ἱππευτῆρα,
Νηῒ διαπλώειν πόντον ἀναινόμενον,
Μὴ θάμβει χρεμέθοντα, καὶ ἐν ποσὶ λὰξ πατέοντα
Τοίχους, καὶ θυμῷ δεσμὰ βιαζόμενον.
Αχθεται εἰ φόρτου μέρος ἔρχεται. οὐ γὰρ ἐπ' ἄλλοις
Κεῖσθαι τὸν πάντων ἔπρεπεν ὠκύτατον.

ΑΝΤΙΦΙΛΟΥ.

Γαμφάγος ἑρπυστὴς κτ̅ δώματα λυχνοβόρος μῦς,
Ὀστρεον ἀθρήσας χείλεσι πεπταμένον,
Πώγωνος διεροῖο νόθην ὠδάξατο σάρκα.
Αὐτίκα δ' ὀστρακόεις ἐπλατάγησε δόμος.
Αρμόσθη δ' ὀδύναισιν· ὁ δ' ἐν κλείθροισιν ἀφύκτοις
Ληφθεὶς, αὐτοφόνον πότμον ἐπεσπάσατο.

Τοῦ αὐτοῦ.

Ψῆγμα πυρὸν χρυσοῖο σιδηρείων ὑπ' ὀδόντων
Ρινηθὲν, λιβυκῆς κουφότερον ψαμάθου,
Μῦς ὀλίγος βαρὺ δεῖπνον ἐδαίσατο· πᾶσα δὲ νηδὺς
Συρομένη βραδύποιν θῆκε τὸ ὠκύτατον. (στρὸς
Ληφθεὶς δ' ἐκ μεσάτης ἀνετέμνετο κλέμματα γα
Ης ἄρα κὴν ἀλόγοις χρυσὲ, κακοῦ πρόφασις.

Νέστορος εἰς τὸν πύθιον δράκοντα.

Εἶρπε δράκθεν, καὶ ἔπινεν ὕδωρ· σβέννυντο δὲ πηγαὶ,
Καὶ ποταμὸς κεκόνιστο, καὶ ἦν ἔτι διψαλέος θήρ.
Εἶρπε τὸ μ̅, τὸ δ' ἔμελλε, τὸ δ' ἦν ἔτι νωθρὸν ἐν εὐνῇ.
Αὐτὰρ ὃ διψήσας ποταμῷ ὑπέθηκε γένειον.
Πᾶς δ' ἄρα κῆφισσὸς εἴσω ῥέεν· ἀργαλέον δὲ
Ανθερεὼν κελάρυζε. κατερχομένου δὲ ῥεέθρου,
Κῆφισσὸν κώκυον ὀλωλότα πολλάκι νύμφαι.

ΚΡΙΝΑΓΟΡΟΥ.

Αἶγά με τὴν εὔθηλον, ὅσων ἐκένωσεν ἀμολγεὺς
Οὔθατα, πασάων πουλυγαλακτοτάτην,
Γευσάμενος, μελιηδὲς ἔπειτ' ἐφράσσατο πῖαρ
Καῖσαρ, κὴν νηυσὶ σύμπλοον ἠγάγετο.
Ηξω δ' αὐτίκα που καὶ ἐς ἀστέρας. ᾧ γὰρ ἐπέσχον
Μαζὸν ἐμὸν, μείων οὐδ' ὅσον αἰγιόχου.

ΒΙΑΝΟΡΟΣ.

Εἰς βαθὺν ἥλατο νεῖλον ἀπ' ὀφρύος ὀξὺς ὁδίτης,
Ηνίκα λαιμάργων εἶδε λύκων ἀγέλην.
Αλλά μιν ἀγρεύσαντο δι' ὕδατος· ἔβρυχε δ' ἀνδρὸς,
Αλλον ἐπουραίῳ δήγματι πλεξάμενος.

Μακεδὰ γε φυρώθη ὑ λύκοις βυθὸς· ἔφθαγε δ' αἰ-
Νηχομένων φηρῶν αὐλοδίδακλος ἄρης. (δρα

ΣΕΚΟΥΝΔΟΥ.

Τίπτε τὸν ὀξκηςὴν βραδύπουν ὄνον ἀμμιγ' ἐν ἵπποις
Γυμνὰ λωφηαῖς ἔξελάατε δρίμου;
Οὐχ ἅλις ὅτι μύλοιο πολιδρόμου ἄλγος ἀεἰσκης
Σπειρηδὸν σκοτόεις κυκλοδίωκλος ἔχω,
Αλλ' ἔτι καὶ πώλοισιν ἐείζομαι; ἦ ῥ' ἔτι λοιπὸν
Ηνμοι τιμὴ σκολιῷ αὐχένι γαῖαν ἀρόω.

Αδηλον.

Τίπτε με τὸν φιλέρημον ἀναιδείῃ ποιμένες ἄγρῃ
Τέτμηα δροσερὴν ἕλκετ' ἀπ' ἀκρεμόνων;
Τίνυμφαν πρόδιτιν ἀηδόνα; καύματι μέσῳ
Οὔρεσι καὶ σκιεραῖς ξυθὰ λαλοῦντα νάπαις;
Ηνὶ δὲ καὶ κίχλῃσι καὶ κόσυφον, ἠνί δὲ τόσσοις
Ψαρας ἀρουραίης ἅρπαγας θὺποείης.
Καρπῶν δηλητῆρας ἐλᾶν θέμις· ὄλλυτ' ἐκείνους.
Φύλλων καὶ χλοερῆς τίς φθόνος ὀξὺ δρόσου;

ΦΙΛΙΠΠΟΥ.

Βωλοτόμοι μύρμηκες, ὁ γῆς κρατὸς, ἠνίκ' ἐσόλων
Γομόωσυ μυχιαὴν σμηνοδόκῃσυ χθόνα,
Μηνίσας ὁ πρέσβις, ἐς ὕδατα κροσσὸν ἔβαψεν,
Ενθάδε θυὶς ἀπὸ γῆς οὐ δοκέων πελάσῃν.
Οἱ δὲ, νέας κυφας ἀχυρτίδας αὐτιφέροντες,
Αὐτοκυβερνητῇ πρεσβὶς ἐπόχασαν.
Ηρα φίλη γαμέτῃ καὶ βαιοπάτοις ἀνέπεισεν
Εκ χθονὸς εἰς νύμφας καινοπάτους ἑρέπας.

Αδηλον.

Λεπτὸν ὑφηναμένα ῥαδινοῖς ἐπὶ ποσσὶν ἀράχνη,
Τέτμηα σκολιαῖς ἐνδον ἑλκομένα πάγαις.
Αλλ' οὔ μιν λεπταῖσιν ὑπαμάζοντα ποδάγραις,
Τὸν φιλαοιδὸν ἰδὼν παῖδα πρὸ ἔδρακασα·
Λύσας δ' ἐκ βροχίδων, ἀπεκύφισα, κοὐ τόδ' ἔλεξα,
Σώζου μουσείῳ φθεγλόμενος κελάδῳ.

ΛΕΟΝΤΕΩΣ.

Ο πρὶν ἐπ' ἀλφεῖῳ στεφανηφόρος ὦ νερ, ὁ τὸ πρὶν
Δισσάκι κηρυχθεὶς καστᾶλίης πρὸς ὕδωρ,
Ο πρὶν ἐγὼ νεμέῃ βεβοημένος, ὁ πρὶν ἐπ' ἰσθμῷ
Γῶλος, ὁ πρὶν πτηνοῖς ἶσα δραμὼν ἀνέμοις·
Νῦν ὅτε γηραιὸς, γυροδρόμον (ἠνίδε) πέτρον
Δινεύω, στεφάνων ὕβριν ἐλαυνόμενος.

ΛΕΩΝΙΔΟΥ.

Φεύγεθ' ὑπ' ἐκ καλύβης σκότιοι μύες· οὔτι πενιχρὴ
Μῦς σιπύη βόσκειν οἶδε λεωνίδεω.
Αὐτάρκης ὁ πρέσβυς ἔχειν ἅλα καὶ δύο κρῖμνα·
Εκ πατέρων ταύτην ᾐνέσαμεν βιοτήν.
Τῷ, τί μεταλλεύεις τοῦτον μυχὸν ὦ φιλόλιχνε,
Οὐδ' ἀποδειπνιδίου χρῃσόμενος σκυβάλου;
Σπεύδων εἰς ἄλλους οἴκους ἴθι· τἀμὰ δὴ, λιτὰ,
Ὧν ἄπο πλειοτέρην οἴσεαι ἁρμαλιήν.

ΑΡΙΣΤΩΝΟΣ.

Ω μύες, εἰ μὲν ἐπ' ἄρτον ἐκηλύθατ', ἐς μυχὸν ἀνῆον
Στείχετ', (ἐπεὶ λιτὴν οἰκέομεν καλύβην)
Οὗ καὶ πίονα τυρὸν ἀποδρέψεσθε, καὶ αὔην
Ισχάδα, καὶ δεῖπνον συχνὸν ἀπὸ σκυβάλων.
Εἰ δ' ἐν ἐμαῖς βίβλοισι πάλιν καταθήξετ' ὀδόντα,
Κλαύσετε, οὐκ ἀγαθὸν κῶμον ἐπερχόμενοι.

ΑΝΥΤΗΣ.

Ηνία δή τοι παῖδες ἔνι τράγε φοινικόεντα
Θέντες, καὶ λασίῳ φιμὰ περὶ στόματι,
Ιππια παιδεύουσι θεοῦ περὶ ναὸν ἄεθλα,
Οφρ' αὐτοὺς φορέῃς ἤπια τερπομένους.

ΑΛΚΑΙΟΥ.

Κειράμιος γονίμην τὶς ἀπὸ φλέβα μητρὸς ἀγύρτης,
Βησσήεντας ἀνὰ πρῶνας ἐβουνοβάτει·
Τῷ δὲ λέων ἤντησε πελώριος, ὡς ἐπὶ θοίναν
Χάσμα φέρων χαλεπὸν πειναλέου φαρύγος.

Δείσας δ' ὠμηστέω θηρὸς μόρον, ὡς αὐδαξε,
Τύμπανον ὀξ ἱερᾶς ἐπλατάγησε νάπης.
Χώ μὲν ἐνέκλασεν φονίαν ἰθύν, ὁκ δὲ τενόντων
Ἐνθοις ῥομβητὼ ἐτροφάλιζε φόβῳ.
Κῆνος ὃ τωθ φυγὼν ὁλοὸν μόρον, εἴσατο ῥείην
Θῆρα τὸν ὀρχηθμῷ αὐδήματι κυβέλης.

Αδηλον.

Χἠμείβων ἀμφὶ νύκλα, χαλαζήεντά τε συρμὸν,
Κὰν νιφετὸν φθύζων, χὴ κρυόεντα πάγον,
Μοιωλέων, χὴ δὴ κεκακωμένος ἀθρόα γύῃ,
Ἦλθε φιλοκρήμνων αὖλιν ἐς αἰγονόμων.
Οἱ δ' ὅκ ἀμφ' αἰγῶν, μεμβλημένοι, ἀλλὰ τωθὶ σφέων,
Εἶαρ, σωτῆρα ζῆν' ὀπιχεκλόμενοι.
Χεῖμα δὲ δὴ μείνας ἦρ νύκλιος, ὅτε τὸν ἀνδρα,
Οὔτε βοτῶν βλάψας, ὤχετ' ἀπαυλόσιος.
Εὖ γ' παθόντες, ἄλγημα τὸ δ' ὀχεφὲς ἀκρολοφῖται
Ζαπὶ, πρὸ δ' ὠρέμνῳ τᾷδ' ἀνέθεντο δρυΐ.

ΝΙΚΙΟΥ.

Ἀ ἰόλον, ἢ μεσθαλὲς ἔαρ φαίνουσα μήλοτα,
Ξουθαὶ ἐφ' ὡραίοις ἄνθεσι μαινομένα,
Χῶρον ἐφ' ἡδύπνοον πωτωμένα, ἔργα λίθεσθε,
Οφρα τεὸς πλήθῃ κηρὸς παγὶς θαλάμος.

Αδηλον.

Τραυλὰ μινυρομένα πρωδεύει κάμμορε φωνᾷ,
Τηρέος οὐ θεμιτῶν ἀμφαμένα λεχέων,
Τίπτε πόνῳ μέλεος γοάεις αἰνὰ δῶμα χελιδών;
Γᾶσαι· ἐπεί σε μόλῃ δάκρυα τὰ κατόπιν.

ΑΔΑΙΟΥ.

Τῇ βαμῇ καλαθίνῃ ἐπὶ σκυλάκῳ μογεούσῃ
Λῃτωὶς κούφιον θὐτοκίλιον ἔπορεν.
Μοιώσας οὔτι γυναιξὶν ἐπήκοος, ἀλλὰ καὶ αὐτὰς
Σωθήσεις σώζειν ἄρτεμις οἵδε κύνας.

ΕΙΣ ΖΩΗΝ, κετὰ λεῖτ

Αδηλον.

Πολλὰ μεταξὺ πέλει κύλικος καὶ χείλεος ἄκρου.

ΠΑΛΛΑΔΑ.

Μή που θανόντες, τῷ δοκεῖν ζῶμεν μόνον,
Ελλῆνες ἄνδρες, συμφορᾷ πεπτωκότες,
Ονείρον εἰκάζοντες εἶναι τὸν βίον,
Εἰ ζῶμεν ἡμεῖς, τοῦ βίου τεθνηκότος;

ΑΝΤΙΠΑΤΡΟΥ θετταλοῦ.

Τρὶς δέκα με πνεύσειν καὶ δὶς τρία μάντιες ἄστρων
Φασίν· ἐμοὶ δ' ἀρκεῖ καὶ δεκὰς ἡ τριτάτη.
Τοῦτο γὰρ ἀνθρώποις βιοτῆς ὅρος. οἱ δ' ἐπὶ τούτοις,
Νέστορι. καὶ νέστωρ δ' ἤλυθεν εἰς ἀΐδην.

Αδηλον.

Τρεῖς ἐτέων δεκάδας, τριάδας δύο, μέτρον ἔθηκαν
Ἡμετέρης βιοτῆς μάντιες αἰθέριοι.
Αρκοῦμαι τούτοισιν. ὁ γὰρ χρόνος, ἄνθος ἄριστον
Ἡλικίης. ἔθανεν χὠ τριγήρων πύλιος.

ΕΙΣ ΗΧΩ, κετὰ λεῖτ

ΑΡΧΙΟΥ.

Εὔφημος γλώσση παραμείβεο τὰν λάλον ἠχώ,
Κοὐ λάλον· ἢν τι κλύω, τοῦτ' ἀπαμειβομένα.
Εἰς σὲ γὰρ ὃν σὺ λέγεις, στρέψω λόγον· ἢν δὲ σιωπᾷς,
Σιγήσω. τίς ἐμεῦ γλῶσσα δικαιοτέρη;

Ομηρόκεντρα εἰς τὸν πρώτως ἀκούσαντα ἠχοῦς.

Ὦ φίλοι ἥρωες, δαναοὶ, θεράποντες ἄρηος,
Ψεύσομαι, ἢ ἔτυμον ἐρέω. κέλεται δέ με θυμός.
Αγρὸς ἐπ' ἐσχατιῆς, ὅθι δένδρεα μακρὰ πεφύκει,
Ναίει ἐϋπλόκαμος δεινὴ θεὸς αὐδήεσσα,
Ἠθεός, ἠὲ γυνή. τοὶ δὲ φθέγγοντο καλεῦντες.
Εἰ δὴ φθεγξαμένου τε καὶ αὐδήσαντος ἀκούσοι,
Αὖτις ἀριζήλως εἰρημένα μυθολογεύει.

Αλλὰ τίη τοι ταῦτα διεξερέεσθαι ἕκαστα;
Τὴν δ' οὔτ' ἀθρῆσαι δύναμ' ἀντίον, οὔτε νοῆσαι.
Ὁπποῖον κείπησθα ἔπος, τοῖόν κ' ἐπακούσαις.

ΕΙΣ ΘΑΛΑΣΣΑΝ, κετ' λϛ

ΚΡΙΝΑΓΟΡΟΥ.

Λῶπος ἀποκλύζουσα παρὰ κροκάλῃσι θαλάσσης
Χερνῆτις, διεροῦ τυτθὸν ὕπερθε πάγου,
Χέρσον ἐπεκβαίνοντι κατασσασθεῖσα κλύδωνι,
Δειλαίη πικροῦ κῦμ' ἔπιεν θανάτου.
Πνεῦμα δ' ὁμοῦ πενίῃ ἀπελύσατο. τίς κ' ἐνὶ νηῒ
Θαρσήσαι πεζοῖς τὴν ἀφύλακτον ἅλα;

ΑΝΤΙΦΙΛΟΥ βυζαντίου.

Εὐβοϊκοῦ κόλποιο παλινδίνητε θάλασσα,
Πλαγκτὸν ὕδωρ, ἰδίοις ῥεύμασιν ἀντίπαλον,
Ηελίῳ κὴν νυκτὶ τεταγμένον, ἐς τρὶς ἄπιστον
Ναισὶν ὅσον πέμπεις χεῦμα δαμειζόμενον,
Θαῦμα βίου, θαμβῶσε τὸ μυρίον, οὐδὲ ματεύω
Σὴν στάσιν. ἀῤῥήτῳ ταῦτα μέμηλε φύσει.

ΕΙΣ ΘΑΝΑΤΟΝ, ΚΑΙ ΕΙΣ θανόντας, κετ' λζ

ΑΓΑΘΙΟΥ.

Τὸν θάνατον τί φοβεῖσθε, τὸν ἡσυχίης γενετῆρα;
Τὸν παύοντα νόσους, καὶ πενίης ὀδύνας;
Μοῦνος ἅπαξ θνητοῖς παραγίγνεται, οὐδέποτ' αὐτὴ
Εἶδέν τις θνητῶν δεύτερον ἐρχόμενον.
Αἱ δὲ νόσοι, πολλαὶ καὶ ποικίλαι, ἄλλοτ' ἐπ' ἄλλον
Ερχόμεναι θνητῶν, καὶ μεταβαλλόμεναι.

ΠΑΛΛΑΔΑ.

Πάντες τῷ θανάτῳ τηρούμεθα, καὶ τρεφόμεσθα,
Ως ἀγέλη χοίρων σφαζομένων ἀλόγως.

Τοῦ αὐτοῦ.

Σῶμα, πάθος ψυχῆς, ᾅδης, μοῖρ', ἄχθος, ἀνάγκη,
Καὶ δῆμος κρατερὸς, καὶ κόλασις βασάνων.
Ἀλλ' ὅταν ἐξέλθῃ τοῦ σώματος, ὡς ἀπὸ δεσμῶν
Τοῦ θανάτου, φεύγει πρὸς θεὸν ἀθάνατον.

Ἄδηλον.

Χαίρει τὶς θεόδωρος ἐπεὶ θάνον· ἄλλος ἐπ' αὐτῷ
Χαιρήσει. θανάτῳ πάντες ὀφειλόμεθα.

ΑΒΒΙΑΝΟΥ.

Ἠὼς ἐξ ἠοῦς παραπέμπεται· εἶτ' ἀμαγούντων
Ἡμῶν, ἐξαίφνης ἥξει ὁ πορφύρεος·
Καὶ τοὺς μὲν τήξας, τοὺς δ' ὀπτήσας, ἐνίους δὲ
Φυσήσας, ἄξει πάντας ἐς ἓν βάραθρον.

Ἄδηλον.

Γῇ μὲν, ἔαρ κόσμος πολυδένδρεον· αἰθέρι δ' ἄστρα·
Ἑλλάδι δ', ἥδε χθών· οἵδε δὲ, τῇδε πόλει.

ΚΡΙΝΑΓΟΡΟΥ.

Μὴ εἴποις θάνατον βιοτῆς ὅρον· εἰσὶ καμοῦσιν
Ὡς ζωῆς ἀρχαὶ συμφορέων ἑτέρων.
Ἄθρει νικίεω κώου μόρον· ἤδη ἔκειτο
Εἰν ἀΐδῃ, νεκρὸς δ' ἦλθεν ὑπ' ἠέλιον.
Ἀστοὶ γὰρ τύμβοιο μετοχλίσσαντες ὀχῆας,
Εἴρυσαν εἰς ποινὰς τλήμονα δισθανέα.

ΦΙΛΙΠΠΟΥ.

Ἡ πυρὶ πάντα τεκοῦσα φιλαίνιον, ἡ βαρύπενθος
Μήτηρ, ἡ τέκνων τρισσὸν ἰδοῦσα τάφον,
Ἀλλοτρίαις ὠδῖσιν ἐφώρμισα. ἦ γὰρ ἐώλπειν
Πάντως μοι ζήσειν τοῦτον ὃν οὐκ ἔτεκον.
Ἡ δ' εὔπαις, θετὸν υἱὸν ἀνήγαγον. ἀλλά με δαίμων
Ἤθελε μηδ' ἄλλης μητρὸς ἔχειν χάριτα.
Κληθεὶς ἡμέτερος γὰρ ἀπέφθιτο. νῦν δὲ τεκούσαις
Ἤδη καὶ λοιπαῖς πένθος ἐγὼ γέγονα.

Τοῦ αὐτοῦ.

Ἠείθμουν ποτὲ πρῶτες Ἀριστοδίκην κλυτόπαιδα,
Ἐξάκις ὠδίνων ἄλλος ἀπωσαμένην·
Ἡ εἶσε δ' εἰς αὐτὴν ὕδωρ χθονίοις δ' ὄλοντο
Νούσῳ, λιπόμοιροι δ' ἦμυσαν ἐν πελάγει.
Ἀεὶ δ' ἡ βαρύδακρις, ὅτε φίλας μολὼν ἀηδών,
Μεμφομένη δὲ βυθοῖς, ἀλκυονὶς βλέπεται.

ΟΝΕΣΤΟΥ.

Πάιδων οὐ μολὼν ἔκαμεν Ἄριστον, οὐδ' ἐσάκουε
Νωνηνὸν διανὸν δ' ἄλλος ἔτικτε μίαν.
Αἰαῖ, μῆτερ ἐμοῖο διείλετο, πλὴν ἴσα τέκνα
Κἀπύει καὶ πικρῷ νάμα μολόντι ὕδατι.

ΑΝΤΙΓΑΤΡΟΥ.

Τὸ βρέφος ἑρμῶν ἄκλα διεξελθόντα θ' μόγιστα,
(Φεῦ κύνες) ἔρπυσιν, κνηίσι μαιόμενον.
Πολλάκι δ' ἐξ ὑμέων ὀστεόμενον ὠλέσατ' (αἰαῖ)
Κέντρις· οἱ δ' ὄφιων φωλεὰ μεμφόμεθα.
Εἴθε λυσιδίκη καὶ ἀμειλίκτοιο, μηδὲ μόγιστας
Αἰνῶν· καὶ κείνοις πικρὸν ἔνεστι μόγος.

ΦΙΛΟΔΗΜΟΥ.

Ἡδὺ καὶ ῥόδον ἐστὶ καὶ ἀκμάζων ἐρέβινθος,
Καὶ καυλοὶ κεφαμβὺς σώσυλε σωφοτόμου·
Καὶ μαίνη ζαλαχάσα, καὶ ἀγλίπαγὶς ἀλίτυρος,
Καὶ θριδάκινθ' οὖλων ἀφεσφυῆ πέταλα.
Ἡμεῖς δ' οὔτ' ἀκλῆς ὀπιβαίνομεν, οὔτ' ἐν ἀπόψῃ
Γιγνόμεθ', ὡς αἰεὶ σώσυλε σωφρονέειν·
Καὶ μιλὼ αἰπήρης καὶ βάκχιος ἐλθὲς ἔπαιζον,
Νῦν δ' ἀΐδις θάψαι σήμερον ἐκφέρομεν.

ΑΝΤΙΦΙΛΟΥ.

Βρέγμα πάλαι λαχνᾶον, ἐρημαίου τε κέλυφος
Ὄμματος, ἀγλαΐσθου θ' ἁδρὸν ἐρινεὸν γόμαρος,
Ψυχῆς ἀθενὲς ἔρκος, ἀτυμεύτου θανάτοιο
Λείψανον, εἰνόδιον δάκρυ παρερχομένων,
Κἠσσον πέλας σὺ χὠ πρέμνοιο πόδα πρόσπον, ὄφελε
Ἀθρήσας τί πλέον φθιμένῳ βιότου.

ΤΡΥΦΩΝΟΣ τὸ ἑρμοῦ εἰς τέρπιν κιθαρῳδὸν,
ἐν σκιάδι τῇ λακωνικῇ σύκῳ βληθέντα,
καὶ ἀποθανόντα.

Τέρπιν θ' ὑφόρμιγγα χρέκων σκιάδησιν ἀοιδὸς,
Κἀτθανεν ἐξαπίνης ἐν λακεδαιμονίοις,
Οὐκ ἄορι πληγεὶς, οὐδ' ἐν βέλει, ἀλλ' ἐνὶ σύκῳ
Χείλεα φερσ, τερφάσιον οὐκ ἀπορος θάνατος.

ΠΑΛΛΑΔΑ ὅτι δυσὶ βρέφεσιν ἅμα τεχθεῖσι,
καὶ δυσὶ θανοῦσι.

Γεμελλιχος θυγατηρ ἔτεκεν φιλότητι μιγεῖσα
Παιδίον ἀρσενικὸν, θηλυκὸν, δὸ δ' ἔτερον.

ΒΙΑΝΟΡΟΣ.

Κοὔρεσιν ἀποπλανίῳ ὅτι μάζιον ἑρμφάκλα,
Φερ βρέφος ὡς ἀδίκως εἵλετε βουκολέες.
Ηγροίσεν ὁ δείλαιος ἐς ὑμέας οἷα μελίσσας
Ελθών. αἱ δ' ἔχεον ἥτε χερσότεραι.
Αντὶ δέ οἱ θοίνης ἐσεμάξατε φοίνια κέντρα.
Ω πικραὶ, γλυκερῆς ἀντὶ παλοι χάριτος.

ΛΟΥΚΙΛΛΙΟΥ.

Η μάξουσα καὶ αὐτὸς ὁ τειδύσμος ἀγκύρᾶξ
Τὸν ὄρον διέζωον κἀβίοτον βίοτον.
Οὐ μὴν πολλὸν ὅτι χρόνον ἤλασα· λαῖξ ὃ πατήσας
Λυσιτόδη ζωὸν, ἤλυθον εἰς ἀΐδεω.

Αδηλον.

Εἰς ἀΐδω ἰθεῖα κατήλυσις, εἴτ' ἀπ' ἀθρώων
Στείχῃς, εἴτε νέκυς νείσεαι ἐκ μεσόδμης,
Μή σε γ' ἀναίσιμα πάσης ἄπο τῆλε θανόντα.
Παντοθεν εἰς ὁ φέρων εἰς ἀΐδω ἄνεμος.

ΓΑΛΛΑΔΑ.

Οὐ ποιῇ θάνατον μόνον ἡ φύσις, ἀλλὰ τὸν αὐτὸν
Καὶ πολλὴ παχύτης πολλάκις εἰργάσατο.
Τοῦδ' ὁ τυραννήσας δεξιὸς ἡ ἐκκλείας
Τῆς ἐν τῷ πόντῳ μύρτυς, ὁ τοῦτο παθών.

Αδηλον.

Κάτθανον, ἀλλ' ἀμύμων σε· μιμνήσκω δέ τε καὶ σὺ τὸν ἀοιδόν.
Πάντας ὁμῶς θνητοὺς εἰς ἄϊδος δέχεται.

Αδηλον.

Γῆ μευ καὶ μήτηρ κικλήσκετο· γῆ με καλύπτει
Κἀνέκυν. οὐ κείνης ἦδε χερσοτέρη.
Ἐστορμὴ δ' ἐν ταύτῃ δηρὸν χρόνον. ἐκ δέ με μηδὲς
Ἤρπασεν ἠῴου καῦμα θερμότατον.
Κρύμη δὲ ξείνη ἐπὶ χερμάδι μακρὸν ἰαύει
Ἰναχὸς, οὐ πείθης κρυναίῃ θερόπων.

ΑΝΤΙΦΙΛΟΥ.

Κρῆναι λιγάδες, πῖ πεφύγατε; ποῦ τόσον ὕδωρ;
Τίς φλὸξ ἀενάοις ἔσβεσεν ἀῴου;
Δάκρυσιν ἀγλαΐζομεθα· πολὺ δ' ὅσον ἡμῖν
Ἦν ποτὸν, ἢ κείνου δίψας ἔχει ἀοιδή.

Αδηλον.

Ἐν μέρμερος ἐστὶ μαθεῖν ἰδίῳ ποτὲ μοίρῳ
Εὔδοξον ἀπίδος τὸ καλλίκερω πόδα ταύρου.
Κοὐδὲν ἔλεξε· (πόθεν; βοὸς γὰρ λόγον οὐ πόρε φύτλη,
Οὐδὲ λάλον μόχθῳ ἀπίδι σῶμα) ἀλλὰ πρὸς αὐτὸν
Λέγεται κεῖνος ταῦρος, ὡροφανὰς ἐλιχμήσατο λώπην·
Δηλοῦν ὡς ἀποδύσῃ δὴ βιοτὸν ὅσον οὔπω.
Καὶ δὴ οἱ ταχέως ἐπελήλυθεν αὐτίκα πότμος,
Ἠῴοις δεκάκις πέντ' ἦδε πρῆξε σιδόντι.

Αδηλον.

Οἶνος, καὶ τὰ λοετρὰ, καὶ ἡ περὶ κύπριν ἐρωὴ,
Ὀξυτέρῳ πέμπει τὴν ὁδὸν εἰς ἄϊδα.

ΕΙΣ ΘΕΟΥΣ,

καὶ λοιπά.

ΛΟΥΚΙΑΝΟΥ.

Ἀνθρώπους μὲν ἴσως λήσῃς, ἄτοπόν τι ποιήσας·
Οὐ λήσῃς δὲ θεοὺς, οὐδὲ λογιζόμενος.

Ἀδέσποτον.

Ζεὺς, κύκνος, ταῦρος, σάτυρος, χρυσὸς, δι' ἔρωτα
Λήδης, εὐρώπης, ἀντιόπης, δανάης.

ΑΝΤΙΠΑΤΡΟΥ.

Εὔκολος ἑρμείας, ὦ ποιμένες, ἐν δὲ γάλακτι
Χαίρων καὶ δρυΐνῳ σπενδόμενος μέλιτι.
Ἀλλ' οὐχ ἡρακλέης· ἕνα δὲ κτίλον, ἢ παχὺν ἄρνα
Αἰτεῖ, καὶ πάντως ἓν θύος ἐκλέγεται.
Ἀλλὰ λύκοις εἴργει. τί δὲ τὸ πλέον, εἰ τὸ φυλαχθὲν
Ὄλλυται, εἴ τε λύκοις, εἴ τ' ὑπὸ τοῦ φύλακος;

ΛΕΩΝΙΔΟΥ.

Ὧ τάνδε στείχοντες ἀταρπιτὸν, οἵ τε ποτ' ἀγροὺς
Δαμόθεν, οἵ τ' ἀπ' ἀγρῶν νεῖσθε ποτ' ἀκρόπολιν,
Ἄμμες ὅρων φύλακες, δισσοὶ θεοὶ, ὧν ὁ μὲν, ἑρμᾶς,
Οἷον ὁρῇς μ'· οὗτος δ' ἅτερος, ἡρακλέης.
Ἀμφω μὲν θνατοῖς εὐάκοοι· ἀλλὰ ποθ' αὐτοὺς,
Αὐτῷ μοι παρὰ θεὶς ἀχράδας, ἐγκέκαφεν.
Ναὶ μὰν ὡσαύτως τοὺς βότρυας, οἵ τε πέλονται
Ὥριμοι, οἵ τε χύδην ὄμφακες, εὐτρέπικεν.
Μισέω τὰν μετοχὰν, οὐδ' ἥδομαι· ἀνὴ ὁ φέρων τί,
Ἀμφω μὴ κοινῇ τοῖς δυσὶ παρτιθέτω,
Καὶ λεγέτω, τῇ τοῦθ' ἡρακλεὲς· ἄλλό τε τοῦτο,
Ἑρμᾶ. καὶ λύει τὰν ἔριν ἀμφοτέρων.

ΑΝΤΙΠΑΤΡΟΥ.

Αἰτός μοι δόμος οὗτος, (ἐπεὶ παρὰ κύματι πηγῷ
Ἱδρυμαι, νοτερῆς δεσπότις ἠιόνος)
Ἀλλὰ φίλος· πόντῳ γὰρ ἐπὶ πλατὺ δειμαίνοντι
Χαίρω, καὶ ναύταις εἰς ἐμὲ σωζομένοις.
Ἱλάσκευ τὴν κύπριν. ἐγὼ δέ σοι ἢ ἐν ἔρωτι
Οὔριος, ἢ χαροπῷ πνεύσομαι ἐν πελάγει.

ΑΝΥΤΗΣ.

Κύπριδος οὗτος ὁ χῶρος, ἐπεὶ φίλον ἔπλετο τήνᾳ
Αἰὲν ἀπ' ἠπείρου λαμπρὸν ὁρᾶν πέλαγος,

Ο φελ φίλον ναύτησι τελῇ πλόον, ἀμφὶ ϑ' πάντος
Δ φμοσύνη, λαμπρὸν δερκόμενος ξόανον.

ΛΕΩΝΙΔΟΥ.

Ε ἶπέ ποτ' ϑ̈ρώπας ποτὶ τὸν κύπριν, ἢ λάβε τεύχη,
Η ξιθι ζᾶς ἀσπάζεαι· ἁ πόλις ὁπλομανῆ.
Α λ' ἀπαλὸν γλυκάσασα, καὶ ἔσομαι αἰεν ἀτευχής,
Ε ἶπε, καὶ οἰκήσω τὸν λακεδαίμονίαν.
Χ άμαθὸ κύπρις, ἀόπλος· ἀναιδέες οἱ ϑ' λέγουσιν
Ι σορες, ὡς ἁμῖν χἁ ϑεὸς ὁπλοφορῆ.

ΝΙΚΑΡΧΟΥ.

Π αρθένε τεῖτο λύφα τί τὸν κύπριν ϑ̈ρτι με λυπεῖς;
Α ρπάξασα σ' ἐμὸν δῶρον ἔχῃς παλάμῃ;
Μ έμνησαι, ζοπάρου δὲν ἐν ἰδαίοις σκοπέλοισιν
Ω ς πάρεις οὐ σε καλῶ, ἀλλ' ἔμ' ἐδαμάτισε;
Σ ὸν, δόρυ καὶ σάκος ἐστὶν· ἐμὸν δὲ ϑ μᾶλον ὑπάρχῃ.
Α ρκεῖ τῷ μήλῳ κεῖνος ὁ ϑαρσὶν πόλεμος.

ΠΑΛΛΑΔΑ.

Τ ὸν διὸς ἐν τειόδοισιν ἐϑαύμασα χάλκεον ἥρα,
Τ ὸν ϑαρσὶν ἐν ὐλαῖς, νεῶ ϑ' ἐκπόμϑνον·
Ο ἰκτίσας σ' ἄρ' ἔφπον, ἀλεξίκακε πεισέλιωε,
Μ ηδέποϑ' ἡτιηθεὶς, σήμερον ἐξεπάϑης.
Ν υκλὶ ϑ' μειδιόων με ϑεὸς ϑαρσέφπε ϑ' δαῖας,
Κ αρῷ δουλεύφν καὶ ϑεὸς ὢν ἔμαθεν.

ΑΡΧΙΟΥ.

Β αιὸς ἰδεῖν ὁ ϑαρσίππος ἐπ' ἀγκυλίτιδα ναῶ
Χ ηλεῶ, ἀϑύμας οὔποτε ἀντιβίης·
Φ οξὸς, ἄποις, οἷόν κεν ἐρημαίησιν ἐπ' ἀκλαῖς
Ξ έσειαν μοῖραν ὑέες ἰϑυβόλων.
Α λλ' ἰὼ τις γειτόϑεν με βοηδόον ἢ καλαμευτὴς
Φ ωνήσῃ, πνοιῆς ἵεμαι ὀξύτερος.
Λ ύσω καὶ τὰ ϑέοντα κϑ' ὕδατος. ἦ γὰ ἀπ' ἔργων
Δ αίμονες, οἳ μορφᾶς γνωσὶν ἔχουσι τύπον.

Εἰς βάκχον.

Μέλπωμεν βασιλῆα φιλεύιον, εἰραφιώτην,
Αβροκόμην, ἀγροῖκον, ἀοίδιμον, ἀγλαόμορφον,
Βοιωτὸν, βρόμιον, βακχεύτορα, βοτρυοχαίτην,
Γηθόσυνον, γονόεντα, γιγαντολέτην, γεγόωντα,
Διογενῆ, δίγονον, διθυραμβογενῆ, διόνυσον,
Εὔιον, εὐχαίτην, εὐάμπελον, ἐγρεσίκωμον,
Ζηλαῖον, ζάχολον, ζηλήμονα, ζηλοδοτῆρα,
Ηπιον, ἡδυπότην, ἡδύθροον, ἠπροπῆα,
Θυρσοφόρον, θρῄϊκα, θιασώτην, θυμολέοντα,
Ινδολέτην, ἱμερτὸν, ἰοπλόκον, εἰραφιώτην,
Κωμαστὴν, κεραὸν, κισσοστέφανον, κελαδεινὸν,
Λυδὸν, λυναῖον, λαθικηδέα, λυσιμέριμνον,
Μύστην, μαινόλιον, μεθυδότην, μυριόμορφον,
Νυκτέλιον, νόμιον, νεβρώδεα, νεβριδόπεπλον,
Ξυστοβόλον, ξυνὸν, ξενοδώτην, ξανθοκάρηνον,
Οργίλον, ὀβριμόθυμον, ὀρέσκιον, οὐρεσιφοίτην,
Πουλυπότην, πλαγκτῆρα, πολυστέφανον, πολύκωμον.
Ρηξίνοον, ῥαδινὸν, ῥικνώδεα, ῥηνοχορῆα,
Σκιρτητὴν, σάτυρον, σεμεγηγενέτην, σεμεγῆα,
Τερπνὸν, ταυρωπὸν, τυῤῥηνολέτην, ταχύμηνιν,
Υπνοφόβην, ὑγρὸν, ὑμενήϊον, ὑλήεντα,
Φηρομενῆ, φρικτὸν, φιλομειδέα, φοιταλιώτην,
Χρυσόκερων, χαρίεντα, χαλίφρονα, χρυσεομίτρην,
Ψυχοπλανῆ, ψεύστην, ψοφομήδεα, ψυχοδαϊκτὴν,
Ωριον, ὠμηστὴν, ὀρεσίτροφον, ὠρεσίλοιπον.

Εἰς ἀπόλλωνα.

Υμνείω παιᾶνα, μέγαν θεὸν ἀπόλλωνα.
Αβροτον, ἀγλαόμορφον, ἀκερσεκόμην, ἁβροχαίτην,
Βριθύνοον, βασιλῆα, βεγεσιχαρῆ, βιοδώτην,
Γηθόσυνον, γεγόωντα, γιγαντολέτην, γλυκύθυμον,
Διογενῆ, διόπαιδα, δρακοντολέτην, δαφνογηθῆ,
Εὔλαλον, εὐρυβίην, ἑκατηβόλον, ἐλπιδοδώτην,

Ζωογόνον, ζάθεον, ζωόφεγνα, ζωοδοτῆρα,
Ηπιον, ἡδυεπῆ, ἡδύθροον, ἠπιόχειρα,
Θηεροφόνον, θαλερόν, θελξιφεγνα, θελγεσίμυθον,
Ιαφέτιν, ἱμερτόν, ἰήιον, ἱπποκορυστήν,
Κοσμοπλόκον, κλάειον, κερατεόφεγνα, καρποβόλε
Λησμοσύνη, λαερόν, λυεγυθέα, λαμπετόωντα, (θλιν,
Μυροπόλον, μαΐτιν, μεγαλήτορα, μυριόμορφον,
Νεβεγαφῆ, νοερόν, νηπενθέα, νηφαλέον τε,
Ξιωγαφῆ, ξιωόν, ξιώόφεγνα, ξιωοδοτῆρα,
Ολβιον, ὀλβιοεργόν, ὀλύμπιον, οὐρεσιφοίτιν,
Πρηϋ, πδωδερκῆ, πδωαπήμονα, πλουτοδοτῆρα,
Ρυσίπονον, ῥοδόχροιν, ῥηξιώορα, ῥηξιχέλυθον,
Σιγαλόεντα, σοφόν, σελαγησέτιν, σωτῆρα,
Τερψίχορον, ὑπατα, τελέσορα, ὑμήεντα,
Υμναγόριν, ὕπατον, ὑψαύχενα, ὑετόεντα,
Φοίβον, φοιβάζοντα, φιλοστέφανον, φρενογηθῆ,
Χρησμαγόριν, χρύσεον, χρυσόχροα, χρυσοβλεμνον,
Ψαμοφῆ, ψάλτιν, ψυσίψυγα, ψυχοδοτῆρα,
Ωκύπον, ὠκυεπῆ, ὠκύσκηπτον, ὠρεσιδώτιν.

ΕΙΣ ΙΑΤΡΟΥΣ,
χξζ λθζ

ΝΙΚΟΜΗΔΟΥΣ, οἱ δὲ, ΒΑΣΣΟΥ, Εἰς ἱπποκράτιν.

Ἱπποκράτης Φάος ἰῶ μερόπων, καὶ σῶεο λαῶν
Ἔθνεα, καὶ νεκύων ἰῶ ἀοιδὶς εἰν ἀΐδῃ.

Ἀνθιστρέφον.

Εἰν ἀΐδῃ ἀοιδὶς ἰῶ νεκύων, καὶ ἔθνεα λαῶν
Σῶετο, καὶ μερόπων ἰῶ Φάος ἱπποκράτης.

Εἰς τὴν ὀρφεϊκὴν βίβλον.

Δίου ὀρφεϊκοῖο, τὸν ἀθανάτιν ἀφ' ἑτέκνιν
Γολλάκι δμηθήνουσα, μίτοις αἰεδωήετο μοίρη.

Ες νίκανδρον.

Καὶ κολοφὼν ἀρίδηλος ἐνὶ πτολίεσσι τέτυκται,
Δοιοὺς θρεψαμένη παῖδας ἀριστονόους.
Πρωτοτόκον μὲν ὅμηρον, ἀτὰρ νίκανδρον ἔπειτα,
Αμφοτέροις μούσαις οὐρανίῃσι φίλοις.

Αδηλον.

Φάρμακα πολλὰ μ' ἐσθλὰ μεμιγμένα, πολλὰ δὲ (λυγρὰ
Νίκανδρος κατέλεξεν, ἐπιστάμενος πέρι πάντων
Ανθρώπων. ἦ γὰρ παιήονός ἐστι γενέθλης.

Αδέσποτον.

Παιήων, χείρων, ἀσκληπιὸς, ἱπποκράτης τέ.
Τοῖς δ' ἔπι νίκανδρος προφερέστερον ἔλλαχεν εὖχος.

ΛΟΥΚΙΛΛΙΟΥ.

Μάγνον, ὅτ' εἰς ἀΐδην κατέβη, τρομέων ἀϊδῶνεὺς
Εἶπεν, ἀναστήσων ἤλυθε καὶ νέκυας.

Τοῦ αὐτοῦ εἰς τοὺς ἀεὶ νοσοῦντας.

Τοὺς καταλείψαντας γλυκερὸν φάος οὐκ ἔτι θρηνῶ,
Τοὺς δ' ἐπὶ προσδοκίῃ ζῶντας ἀεὶ θανάτου.

ΠΑΛΛΑΔΑ.

Οὐκ ἀλόγως ἐν διζύφοις δυνάμιν τινα θεῖαν
Εἶναι ἔφην. χθὲς γοῦν δίζυφον ἐν χρονίῳ
Ηπιάλῳ κάμνοντι τεταρταίῳ περιῆψα,
Καὶ γέγονεν ταχέως οἷα κρότων ὑγιής.

Τοῦ αὐτοῦ.

Κονδίτου μοι δεῖ. τὸ δὲ κονδῖτον πόθεν ἔσχε
Τοὔνομα; τῆς φωνῆς ἐστὶ γὰρ ἀλλότριον
Τῆς τῶν ἑλληνῶν· εἰ ῥωμαϊκῶς δὲ καλεῖται,
Αὐτὸς ἂν εἰδείης, ῥωμαϊκώτατος ὤν.
Σκεύασον οὖν μοι τοῦτο. τὸ γὰρ κατέχον με νόσημα
Τοῦ στομάχου, χρῄζειν τοῦδε λέγουσι ποτοῦ.

ΕΙΣ ΙΧΘΥΑΣ, κετὰ μετ

ΑΝΤΙΠΑΤΡΟΥ θετταλοῦ.

Πούλυπος εἰναλίῃ ποτ' ἐπὶ προβλῆτι τανυσθεὶς,
Ηελίῳ ψύχειν πολλὸν ἀνῆκε πόδα.

Οὔπω δ' ἦν πέτρῃ ἴκελος χρόα· τοὔνεκα καί μιν
Αἰετὸς ἐκ νεφέων ὀξὺς ἔμαρψεν ἰδών.
Πλοχμοῖς δ' εἱλιχθεὶς πέσεν εἰς ἅλα δύσμορος. ἦ
Αμφω καὶ θήρης ἤμβροτε καὶ βιότου. (ρα

ΑΝΤΙΦΙΛΟΥ βυζαντίου.

Αἰγιαλοῦ τενάγεσσιν ὑποπλώοντα λαθραίῃ
Εἰρεσίῃ φαίδων εἴσιδε πουλυπόδην. (ρας
Μάρψας δ' ὀξὺς ἔριψεν ἐπὶ χθόνα, πρὶν περὶ χεῖ-
Πλέξασθαι βρύγδην ὀκτατόνους ἕλικας.
Δισκευθεὶς δ' ἐπὶ θάμνον ἐς οἰκία δειλὰ λαγωοῦ,
Εἱλιδὸν ταχινοῦ πτωκὸς ἔδησε πόδας.
Εἷλε δ' ἁλούς. σὺ δ' ἄκηπτον ἔχεις γέρας ἀμφοτέ-
Αγρης χερσαίης, πρέσβυ, καὶ εἰναλίης. (ρωθεν,

ΦΙΛΙΠΠΟΥ.

Μεμφομένη βορέην, ἐπεπωτώμην ὑπὲρ ἄλμης·
Πνεῖ γὰρ ἐμοὶ θρῄκης ἤπιος οὐδ' ἄνεμος.
Αλλά με τὴν μαλίγηρην ἀηδόνα δέξατο νώτοις
Δελφὶν, καὶ πτὴν ἐν πόντιος ἐνιόχει.
Γιστοτάτῳ δ' ἐρέτῃ πορθμευομένη, τὸν ἄκωπον
Ναύτην τῇ στόματος θέλγον ἐγὼ κιθάρῃ.
Εἰρεσίην δελφῖνες ἀεὶ μούσῃσιν ἄμισθον
Ηνυσαν. οὐ ψεύστης μῦθος ἀριόνιος.

ΙΣΙΔΩΡΟΥ αἰγεωδότου.

Πούλυπον ἀγρεύσας ποτὲ γυννιχος, ἐξ ἁλὸς εἰς γῆν
Ερρίψεν, δείσας θηρὸς ἱμαντοπέδην.
Αλλ' ὅδ' ἐφ' ὑπνώοντα πεσὼν ἐνέδησε λαγωὸν,
Φεῦ, τάχα θηρευτὰς ἄρτι φυγόντα κύνας.
Αγρευθεὶς δ' ἤγρευσεν. ὁ δ' εἰς ἅλα γύννιχος ἰχθὺν
Ηκε πάλιν ζωῆς λύτρα λαγωὸν ἔχων.

ΑΝΤΙΦΙΛΟΥ.

Ανέρα θὴρ χερσαῖον ὁ πόντιος, ἄπνοον ἔμπνους,
Αράμενος λοφιῆς ὑγρὸν ὕπερθε νέκυν,
Εσψαμάθους ἐκόμισσα· τὸ δὲ πλέον, ἐξ ἁλὸς εἰς γῆν
Νηξάμενος, φόρτου μισθὸν ἔχω θάνατον.

Δ αἰμοκα δ' ἀλλήλων ἠμείψαμθ· ἡ μὲν ἐκείνου
Χ θὼν, ἐμὲ δ' ὂν δ' ἀπὸ γῆς, ἔκλαυσε ζωμὸν ὕδωρ.

ΒΙΑΝΟΡΟΣ.

Φ ῶρες ὅτ' εἰνάλιοι τυροπνίδος ἀγχόθι δίνης
Φ ορμικλαὺ ἀκάτου ἧκαν ὑποβρύχιον,
Α ὐτίκα μὲν κιθάρῃ λιγυηχέϊ δέξατο δελφὶν
Σ ιὼ θεσπον, ὃν ὑβριστὴς ἐλιασόμενος,
Μ έρμερος ἐπ' ἰσθμὸν ἔκελσε κατ' εἰνάτιον· ἦ ῥα θάλασσα
Ι χθῦς ἀνθρώπων εἶχε δικαιοτέρους.

ΦΑΝΙΟΥ.

Α κλίτα καλὰ μευτὰ, ποτὶ ξεῖνον ἔλθ' ἀπὸ πέτρας,
Κ αί με λάβοι ἀρχὼ τερφίον ἐμπολέα·
Α ἴτε σύ γ' ὦ κύρτῳ μὴ ἀνυείδας, αἴτε τὶν ἀγρῷ
Μ ορμύρων, ἢ κίχλαι, ἢ ἀπάτερον, ἢ σμαρίδα·
Α ὐτόν τ' αὐλάσεις με τὸν οὐ χρέας, ἀλλὰ θάλασσαν
Τ ιμῶντα, ψαφαρὸν κλάσματος εἰς ἀπάτιον.
Χ ηλίδας ἦν ὃ φέρῃς φίλ' ἀχανθίδας, ἤ τινα θρίσσαν,
Ε ὐάγρῳ λίτραν οὐ γὰρ ἔχω φάρυγα.

ΕΙΣ ΚΑΛΛΟΣ, κεῖ μαζ

ΑΝΤΙΠΑΤΡΟΥ.

Β υκόλος ἔπλεο φοῖβε· πόσῳ δάων δὲ, καὶ ἄλλης·
Κ ύκνος, ζεὺς· ἄμμιν δ', ἀμφιβόητος ὄφις.
Χ οἱ μὲν, ἐπ' ἠθάδας, σὺ δὲ, παμδικὲς, ὄφρα λάθοιτε.
Ε φ' ἡδὺ οὐ πειθοῖς δῦνέταν, ἀλλὰ βίης.
Ε ὐαγρέας δ' ὢν καλὸς, ἄτερ δόλου αὐτὸς ἁλίσκῃ
Π αίπας καὶ πάσας, οὐ μεταδημόμενος.

Εἰς βύμορφον κολυμβῶσαν ἐν τῷ νείλῳ.

Α κύπρις ἐφάνη γυμνὰ σε βάσεν ἰδοῦσα,
Φ εῦ, φεῦ, πῶς σταγόνων ἔκλοθεν οὐρανίων
Ζ ωγώσας ὠδῖνα θαλάσσιον ὁ θρασὺς ἀϊὴν
Ν ηλῆς ἀπὸ γλυκερῶν κύπριν ἀπῆκε βυθῶν;

Τί ἂν εἴποι εἰδοθέα ἰδοῦσα τὸν ἐλεγχῶ
ἐν φάρῳ.

Ο ἰκλείρω στέο κάλλος, ἐπεὶ δόλος ἐστὶ γυνὴ θλη.

Εἰσορέω γὰρ ἄγαλμα δι' εὐπρεφές· ἀπρεκέως γὰρ
Τρῶσί τε καὶ δηΐοισι μάχη δεκέτεος ἐτύχθη.
Πού δὴ τὸς ἀγλαόκωπος θεοῦ ἀμφιπεσὼν ἀρωγαί;
Ἐμπης δ' ἔρχεο θᾶσσον, ἀπήμονα νόστον ἑλοῦσα,
Εἰ δὴ θήσι ἑοῖσι, καὶ ἧς ἔτι νῶτα θαλάσσης.

Ἀδηλον.

Αἰ χάειτες, τεφς εἰσὶ σὺ δή, μία ταῖς τε καὶ ταύταις
Γεννήθης, ἵν' ἔχω· αἱ χάειτες χάειτα.

ΕΙΣ ΚΟΛΑΚΑΣ, κεζ μβζ

ΒΙΣΑΝΤΙΝΟΥ.

Εἴπερ ἀνὴρ ἄρχων ἐθέλῃ κολάκων ἀνέχεσθαι,
Γόλλοις οὐκ ἐδόσῃ τοῖς μιαροῖς τόμασιν.
Ὥστε χρὴ τὸν ἄριστον ἀπεχθαίρεσθαι δικαίως,
Ὡς κόλακας μισεῖν τοὺς κολακευομένους.

ΛΟΥΚΙΑΝΟΥ.

Οὐδὲν οὕτω ἀνθρώποισι φύσις χαλεπώτερον οὖρεν
Ἀνθρώπου καθαρὰν ψευδομένου φιλίην. (τες
Οὐ γὰρ ἔθ' ὡς ἑτάρου προφυλακτόμεθ', ὃς ἀγαπῶν-
Ὡς φίλον, οὐ τοῦτο πλείονα βλαπτόμεθα.

ΓΑΛΛΑΔΑ.

Ἦν ὁ φίλος τι λάβῃ, δόμεν φάτο· θὴν δ' ἔλαβεν·
Ἦν δή· οὐ μή τι λάβῃ, δῶ φάτερ εἶπε μόνον.
Ὤνια γὰρ καὶ ταῦτα τὰ ῥήματα· αὐτὰρ ἔγωγε
Οὐκ ἐθέλω δόμεν· οὐ γὰρ ἔχω δόμεναι.

Τοῦ αὐτοῦ.

Ῥῶ καὶ λαμβδᾶ μόνον κέρακας κόλακάς τε διΐσᾳ·
Οὐκοῦν ταὐτὸ κέραλξ βωμολόχος τε κόλαξ.
Τοὐνεκά μοι βέλτιστε τόδε ζῷον πεφύλαξο,
Εἰδὼς καὶ ζώντων τοὺς κόλακας, κόρακας.

Τοῦ αὐτοῦ.

Οὐχ ὅτῳ βλάπτῃ μισεῖν ὁ λέγων ἀναφανδόν,
Ὡς σφὼ ὁ τὸν καθαρὰν ψευδόμυθος φιλίαν.
Τὸν μὲν γὰρ μισοῦντα σφεδόθεν οὐ δεδοίκαμεν·
Τὸν δὲ λέγοντα φίλον, τοῦτ' ἀφυλακτόμεθα.

Ε ληρὸν ἐγὼ κεῖνον κρίνω βαρὺν ὅς ποτε λάθρῃ
Τὴν ἀπὸ τῆς φιλίης πίστιν ἔχων ἀδικεῖ.

Ἀδηλον.

Γ λαυκὸν ἔχῃς τὸν ἔρωτα· φόβῳ δὲ φιλῇς καὶ αἰδοῖ.
Τ οὐ δὲ φιλῇν ὅτως οὐδὲν ἀπιστότερον.

ΕΙΣ ΚΡΙΤΑΣ, καὶ μῦς

Ἀδηλον.

Θ αρσαλέοι κέλτοὶ πολεμῶ ζηλήμονι μύῃ
Τ έκνα παλαντεύουσι, καὶ οὐ πάρεσ εἰσὶ τοκῆες
Π εὶν παῖν ἀνθρήσωσι λελουμένον ὕδατι σεμνῷ.
Α ἶψα γὰρ ὠὰ κατεσθίουσ ὀλιγίστας ἀμφὶ κάλυπτον
Ν ηπιάχοις, τοῦτον τοι τρέφει δάκρυ, τὸν μῦν, ἀείρας
Α ὐτὸς ἐπ' ἀσπίδι ἧκε νέον παῖν, οὐδὲ ἀλεγίζει.
Ο ὔπω γὰρ ἡυέταο φέρει νόον, ὥρην γ' ἔσω ἀθρήσῃ
Κ εκριμένον λευγαλέοισιν ἐλεγχιγάμου πολεμοῖο.
Η δὲ μετ' εἰλείθυιαν ἐπ' ἄλγεσιν ἄλγος ἔχουσα
Μ ήτηρ, εἰ καὶ παιδὸς ἀληθέα οἶδε τοκῆα,
Ε κδέχεται ἐσμέουσα τὶ μήσεται ἄσατον ὕδωρ.

ΠΑΛΛΑΔΑ.

Ο ὐδεὶς καὶ καθαρὸς καὶ μείλιχος ἦλυθεν ἐς χῶρον.
Ε ν γὰρ ἑνὸς δοκέει δόγματος αὐτὶ πάλιν·
Τ ὸ γλυκύ, τὸ κλέπτοντος· ἰὼ φθονερὰ λύπη, ὃ ἀγαθόν·
Ο ργανα τῆς ἀρετῆς ταῦτα δύ' ὀστὶ πάθη.

Τοῦ αὐτοῦ.

Μ ήποτε δουλεύσασα γυνὴ, δέσποινα γένοιτο,
Ε ἰ πρόμια κήθ. τῷ γὰρ ἔθ' ὅμοιον ἐρῶ.
Μ ήτε δίκην δικάσσεν ἀνὴρ γεγονὼς δικαλέκτης,
Μ ηδ' ἂν ἰσοκρατέος ῥητορικώτερος ᾖ.
Γ ᾶς γὰρ ὁ μαθαρνᾶν εἰθισμένος, ἁδὺ δ' ἐν ἑταίρῳ
Σ εμνότερον δικάσαι, μὴ ῥυπόωσ δυνάται.

Τοῦ αὐτοῦ.

Ε ἶναι νομίζω φιλόσοφον καὶ τὸν θεόν,
Β λασφημίαις τὸν δῆθ' οὗ θυμούμενον.

Χρόνῳ δ' ἐπαυξάνοντα τὰς τιμωρίας
Τὰς τῶν πονηρῶν καὶ τὰ λαιπώρων βροτῶν.

Τοῦ αὐτοῦ.

Στυγνὴν τὴν νίκην τὶς ἰδὼν κατὰ τὴν πόλιν ἐχθὲς,
Εἶπε, θεὰ νίκη, τίπτε πέπονθας ἄρα;
Ἡ δ' ἀποδυρομένη, καὶ μεμφομένη κρίσιν, εἶπεν,
Οὐκ ἔγνως σὺ μόνος; πατρικίῳ δέδομαι.
Ἦν ἄρα καὶ νίκη πολυώδυνος, ἣν παρὰ θεσμὸν
Πατρικιὸς ναύτης ἥρπασεν ὡς ἄνεμον.

ΕΙΣ ΛΟΓΟΓΡΑΦΙΑΝ,

ἤτοι ἐποποιΐαν, κατὰ μέτρα

ΠΑΡΜΕΝΙΩΝΟΣ.

Φημὶ πολυστιχίην ἐπιγράμματος οὐ κατὰ μούσας
Εἶναι. μὴ ζητεῖτ' ἐν σταδίῳ δολιχόν.
Πόλλ' ἀνακυκλεῖται δολιχοῦ δρόμος· ἐν σταδίῳ δὲ
Ὀξὺς ἐλαυνόμενος, πνεύματός ἐστι τόνος.

ΚΥΡΙΛΛΟΥ.

Γᾶν καλόν ἐστ' ἐπίγραμμα τὸ δίστιχον· ἢν δὲ παρέλθῃς
Τοὺς τρεῖς, ῥαψῳδεῖς, κοὐκ ἐπίγραμμα λέγεις.

Ἀδήλου.

Οἴγνυμ' ἐξ ἑτέρης πόμα πίδακος, ὥστ' ἀρύσασθαι
Ξεῖνον μουσοπόλον, γράμμα λεωνίδεω.
Δίστιχα γὰρ ψήφοισιν ἰσάζεται· ἀλλὰ σὺ μῶμε
Ἐξίθι, κεἰς ἑτέροις ὀξὺν ὀδόντα βάλε.

Εἰς τὸν φαίδωνα διάλογον πλάτωνος, νοθευόμενον ὑπὸ πανατίου.

Εἴ με πλάτων οὐ γράψε, δύο ἐγένοντο πλάτωνε·
Σωκρατικῶν ὀάρων ἄνθεα πάντα φέρω.
Ἀλλὰ νόθον μ' ἐτέλεσσε πανατίος· ὅς ῥ' ἐτάλασσε
Καὶ ψυχὴν θνητὴν κἀμὲ νόθον τελέσαι.

ΑΥΤΟΜΕΔΟΝΤΟΣ.

Νικήτης ὀλίγος μὲν ἐπὶ προτόνοισιν ἀήτης
Οἷά τε πρηείης ἄρχεται ἐκ μαλέτης.

Αλλ' ὅταν ἐμπνεύσῃ, καὶ ἡ ἱστία πνεύματα φέρηται,
Λαίφεα πακτώσας, μέσσα θοὴ πελάγη,
Ναῦς ἅτε μυελόφορτος, ἕως ὅτε τέρματα μίθων
Ἔλθῃ, ἀκυμάντοις ἔμπορος εἰς λιμένας.

Δηλον εἰς γυναῖκα.

Ὦ φίλος, εἰ σοφὸς εἶ, λάβε μ' ἐς χέρας· εἰ δέ τε πάμπαν
Νηὶς ἔφις μουσέων, ῥίψον ἀμηνοέης. (πνεύ
Εἰμὶ δέ γ' ὑπνώουσι βατὸς· παῦροι δ' ἀγάσαντο
Θυμὸν ἐμὸν λύρῃσιν, κεκρότηνται δ' ὄχλος.

Δηλον.

Πᾶς λόγος ἐστὶ ματαῖος, ὁ μὴ τετελεσμένος ἔργῳ·
Καὶ πᾶσα πρᾶξις τὸν λόγον ἔργον ἔχει.

ΕΙΣ ΜΑΙΝΟΜΕΝΟΥΣ, ΚΕΦ. μζ.

Κοινὴ πρὸς κλισίην ληθαργικὸς ἦδε φρενοπλὴξ
Κεἰμῆνοι, ἀλλήλων νοῦσον ἀπεσκέδασαν.
Ἐξέθορε κλίνης γὰρ ὁ βλημένος ὑπὸ λύσσης,
Καὶ τὸν ἀναίσθητον πρωτὸς ἔτυπτε μύδρος.
Γλήναι δ' ἀμφοτέροις ἐν γόνυσι' ἄκρος· ἀφ' ὁμὴ αὐτῆ
Ἔγρετο, τὸν δ' ὕπνος πουλὺς ἔμενε κόπος.

ΕΙΣ ΜΑΘΗΜΑΤΑ, ΚΕΦ. μς.

ΑΝΤΙΠΑΤΡΟΥ Εἰς ἄστρον.

Γράμμα τόδ' ἀρήτοιο δαήμονος, ὅς ποτε λεπτῇ
Φοινικὶ δίνωσεν ἀστέρας ἐφράσατο,
Πλανέας τ' ἄμφω καὶ ἀγήμονας, οἵσιν ἀναρχὴς
Ἀλόμενος κύκλοις οὐρανὸς ἐνδέδεται.
Αἰνείαθ' δὲ καμόν ἔργον μέγα, καὶ δίος ἐκεῖ
Δύτερος, ὅσσις ἔβης ἄστρα φαεινότερα.

ΛΕΩΝΙΔΟΥ.

Μαίπιες ἀστροέσσθω ὅσοι ζητεῖτε κέλευθον,
Ἐρρόιτ' εἰκαίης ψευδολόγοι σοφίης.
Ὑμέας ἀφροσύνη μαιώσατο, τόλμα δ' ἔτικτε
Τλήμονας, οὐδ' ἰδίων εἰδότας ἀκλείων.

ΑΝΤΙΠΑΤΡΟΥ.

Θ φοῖβ' ὑπείσω τὰ τεχνήεντα κύπελλα
Π έμπει· χωρεῖ δ' ὑμῶν δ' οὐρανὸν ἀμφότερα.
Δ οιὰ γὰρ ὀκ σφαίρης τετυμμένα· καὶ τὸ μὲν ἡμῶν,
Τ οῖς νοτίοις, τὸ δ' ἔχει πείρατα τὰν βορέη.
Α λλὰ σὺ μηκέτ' ἐς ἄρκτον ἐπίβλεπε· δοιὰ δ' ἐν ἁμ
Μ έτρα πιὼν, ἀθρῆ πάντα τὰ φαινόμενα. (φοῖν

ΠΤΟΛΕΜΑΙΟΥ.

Ο ἶδ' ὅτι θνατὸς ἐγὼ κὴ ἐφάμερος· ἀλλ' ὅταν ἀστρων
Μ αστεύω πυκινὰς ἀμφιδρόμους ἕλικας,
Ο ὐκ ἔτ' ὀπιπαύω ποσὶ γαίης, ἀλλὰ πρὸς αὐτὸν
Ζ ηνὶ δι' ἀστερόεις πίμπλαμαι ἀμβροσίης.

Πρόβλημα.

Π ανῆς ἐγὼ τελέθω σφυρήλατος· αὐτὰρ ὁ χρυσὸς,
Α ἰζηῶν πέλεται δῶρον ἀοιδοπόλων.
Η μισυ μὲν χρυσοῖο, ἀφείσιος· ὀγδοάτῳ δ'
Θ έασις, καὶ δεκάτῳ μοῖραν ἔθηκε σόλων.
Α ὐτὰρ ἐφηδύνθην, ἡμίσεων· τὰ δὲ λοιπὰ χάλκεα τα
Ε ννέα, καὶ τέχνη, δῶρον ἀριστοδίκου.

Αλλο προβλημα.

Α ὐγείῳ ἐρέφνε μέγα σθένος ἀλκείδαο,
Γ ληθὺν βουκολίων διζήμενος· ὃς δ' ἀπαμείπτο,
Α μφὶ μιῇ ἀλφεσιοῖο βοὰς, φίλος, ἤμισυ τῶν δε·
Μ οίρη δ' ὀγδοάτη ἦλθον χρόνου ἀμφινέμοντα·
Δ ωδεκάτη δ' ἀπονώθη ἑὰ σὺν ἑξήκοντα πρὸς ἕβδομ.
Α μφὶ δ' ἀρ' ἠλιδάδιαν ἐφοδεύνεμέθοντα·
Α ὐτὰρ ὅτ' ἀρκαδίη τελέσθη προβλήτην· τὰ λοιπὰ·
Λ οιπὰς δ' αὖ λεύσεις ἀγέλας τόδε πεντήκοντα.

Σχόλια εἰς τοῦτο τὸ προβλημα, καὶ εἰς τὰ ἑξῆς, ζήτει ἐν τῇ πτολεμαίου δὲ τῇ βιβλίου.

Αλλο προβλημα.

Χ άλκεός εἰμι λέων· χρυσοῖ δέ μοι ὄμματα δοιά,
Κ αὶ σώματος δὲ θέναρ δεξιτεροῖο ποδός.

Γ λήθει δὲ κρατῆρα δύ' ἤμασι δεξιὸν ὄμμα,
Καὶ λαιὸν τρισσοῖς, καὶ πισύρεσσι θέναρ.
Α ρκιον ἓξ ὥραις πλῆσαι στόμα. ἐν δ' ἅμα πάντα,
Καὶ στόμα, καὶ γλῆναι, καὶ θέναρ, εἰπὲ πόσον.

Αλλο πρόβλημα.

Α μφω μὲν ἡμεῖς εἴκοσι μνᾶς ἕλκομεν,
Ζ ῆθός τε, χὠ ξυύαιμος· ἢν δέ μου λάβῃς
Τ ρίτον, τὸ τέτρατόν τε τοῦδ' ἀμφίονος·
Ε ξ πάντ' ἀνευρὼν, μητρὸς εὑρήσεις σταθμόν.

Αδέσποτον.

Τ ὸν σοφὸν ἐν κιθάρῃ, τὸν μουσικὸν ἀνδροτίωνα
Η ρετό τις τοίην κρουματικὴν σοφίην,
Δ εξιτερὴν ὑπάτην ὁπότε πλήκτροισι δονήσω,
Η λαιὴ νήτη πάλλεται αὐτομάτως,
Λ επτὸν ὑποτρίζουσα. καὶ ἀντίτυπον τερέτισμα
Γ άσχει, τῆς ἰδίης πλησσομένης ὑπάτης.
Ω στέ με θαυμάζειν πῶς ἄπνοα νεῦρα τα θέντα
Η φύσις ἀλλήλοις θήκατο συμπαθέα.
Ο ς δὲ, τὸν ἐν πλήκτροισιν ἀριστόξενον ἀγητὸν
Ω μοσε μὴ γνῶναι τήν δε θεημοσύνην.
Ε στι δ', ἔφη, λύσις ἥδε· τὰ νευρία πάντα τέτυκται
Ε ξ ὄϊος χολάδων ἄμμιγα τερσομένων·
Τ οὕνεκεν εἰσὶν ἀδελφὰ, καὶ ὡς ξύμφυλα συνηχεῖ,
Σ υγγενὲς ἀλλήλων φθέγμα μεριζόμενα.
Γ νήσια γὰρ τάδε πάντα, μιῆς ἅτε γαστρὸς ἐόντα,
Κ αὶ τῶν ἀντιτύπων κληρονομεῖ πατάγων.
Κ αὶ γὰρ δεξιὸν ὄμμα κακούμενον ὄμματι λαιῷ,
Π ολλάκι τοὺς ἰδίους ἀντιδίδωσι πόνους.

ΕΙΣ ΜΕΘΗΝ, κεζ μζζ

ΑΝΤΙΠΑΤΡΟΥ.

Μ ηδ' ὅτ' ἐπ' ἀγκύρῃ ὀλοῇ πίστευε θαλάσσῃ
Ν αυτίλε, μηδ' εἴ τοι πείσματα χέρσος ἔχει.
Κ αὶ γὰρ ἰὼν ὅρμῳ ἔνι κάππεσεν· ἐς δὲ κόλυμβον
Ν αύτου τὰς ταχινὰς οἶνος ἔδησε χέρας.

Φῦγε χορὸν τὸν πίνην. ἐλθὼν ἀκμὴν
Γόντος· τυρσηνοὶ τῦτον ἔθεντο νόμον.

ΑΡΓΕΝΤΑΡΙΟΥ.

Κωμάζω, χρύσεον ἐς ἐπιτείων χορὸν ἄγρων
Λύσαν, οὐδ' ἄλλων λάξ ἐβάρυνα χορούς.
Στέψας δ' αὐθοβόλων κρατὸς τρίχα, τὴν κελαδεννὰν
Γηλίδα μουσοπόλοις χερσὶν ἐπηρέθισα.
Καὶ τάδε δρῶν, εὔκοσμον ἔχω βίον. ὧδε γὰρ αὐτὸς
Κόσμος ἀεθλητὴν λύρης ἔπλετο καὶ στεφάνου.

Αδηλον.

Ὁ πρὶν ἀεὶ βρομίου μεμεθυσμένος οἰνάδι πηγῇ,
Σιτὸς ὀφρυόεις, ἀγροπόδης σάτυρος,
Δηθάδιον κῶμον ἀλυκλοπέδησι λυγωθείς,
Εἵρτεα παιδὶ θεᾶς χαλκοτορῆ θέσπιδος·
Οὐ σοφὸν ἐκ τέχνας ἀσκῶν πόνον, ἀλλὰ πενιχρὰν
Ἐργάτιν ἐκ μόχθων ῥυόμενος βιοτάν.

Αδηλον.

Γῦ σοι κεῖνα κύπελλα λαφύσσιε, πολλὰ θύρσων
Πήγματα, καὶ κῶμοι, σκιρτοπόδη σάτυρε;
Τίς σε τὸ δὴ σμίλαισι ποδίκροτον ἄμμα καθάψας
Θήκατο, τὸν βρομίῳ σπάργανον ἐλιξάμενον;
Ἀ ἰαχήμων ἔνδια, καὶ ἀ πολύτλημος αὐάγκα,
Ἃ με πρὸ ἠφαίστῳ ἔτρεφε μυρίλοπος.

ΕΙΣ ΜΕΤΡΙΟΤΗΤΑ, ΧΕΖ ΜΗΖ

ΒΑΣΣΟΥ.

Μήτέ με χείματι πόντος ἀγροτὰς θρασύς, ὔδε γαλήνη
Ἀργιλόεσσα σαλεύμενον τὸ πολυκλινέμενον.
Αἱ μεσότητες ἄριστα, ὅπη δέ γε πρηξίες ἀνδρῶν,
Καὶ μάλα μέτρον ἐγὼ τάρκιον ἠσπασάμην.
Τῦτ' ἀγάπα φίλε λάμπτι, καὶ χαρὰ σὶ ἔνθαρσε θυέλ-
Εἰσὶ γὰρ ἐς πρηξὶν καὶ βιότου ζέφυροι. λας.

Αδηλον.

Γαῖα τὸ πρωτεῖον, ἄκαμεν· ἐπεὶ λόγος ἐστὶ παλαιὸς
Ὡς καὶ τῦ μόχθου τὸ πλέον ἐστὶ χολή.

ΙΟΥΛΙΑΝΟΥ.

Οἶκος καὶ πάτρη, βιότου χάρις· αἱ δὲ περισσαὶ
Φροντίδες ἀνθρώποις, οὐ βίος, ἀλλὰ πόνος.

ΕΙΣ ΜΙΣΟΣ, κεζ μθζ

Αδηλον.

Εὐστέφιός μ' ἐδάμασσεν ὁμοῦ καὶ πρώϊος ὕπνος,
Ος μὲν, ἐπιβρίσας, ὃς δέ με μὴ καλέσας.
Ων ἐξ ἀμφοτέρων, ὁ μὲν ἐῤῥέτω, ὃς δὲ πεφείη
Ιλαος, ὡράων μέτρον ἐπιστάμενος.

ΕΙΣ ΜΗΤΡΥΙΑΝ, κεζ νζ

ΚΑΛΛΙΜΑΧΟΥ.

Στήλην μητρυιῆς, μικρὰν λίθον, ἔστεφε κοῦρος,
Ως βίον, ἠλλάχθαι καὶ τρόπον οἰόμενος·
Η δὲ, τάφῳ κλινθεῖσα, κατέκτανε παῖδα πεσοῦσα.
Φεύγετε μητρυιῆς καὶ τάφον οἱ πρόγονοι.

Αδηλον.

Μητρυιαὶ προγόνοισιν ἀεὶ κακόν· οὐδὲ φιλοῦσαι
Σώζουσιν. φαῖδραν γνῶθι καὶ ἱππόλυτον.

ΠΑΡΜΕΝΙΩΝΟΣ μακεδόνος.

Μητρυιῆς δύσμενις ἀεὶ χόλος, οὐδ' ἐν ἔρωτι
Ηπιος. οἶδα πάθη σώφρονος ἱππολύτου.

ΕΙΣ ΜΝΗΜΗΝ, κεζ ναζ

ΜΑΚΕΔΟΝΙΟΥ ὑπάτου.

Μνήμη καὶ λήθη μέγα χαίρετον· ἡ μὲν ἐπ' ἔργοις
Μνήμη τοῖς ἀγαθοῖς, ἡ δ' ἐπὶ λευγαλέοις.

ΕΙΣ ΜΥΣΤΗΡΙΟΝ, κεζ νβζ

ΛΟΥΚΙΑΝΟΥ.

Ἀῤῥήτων ἐπέων γλώσσῃ σφρηγὶς ἐπικείσθω.
Κρείσσων γὰρ μύθων ἢ κτεάνων φυλακή.

ΕΙΣ ΜΕΜΨΙΝ, κεζ νγζ

ΑΝΤΙΦΙΛΟΥ.

Ηγραῦς εὐβούλη, ὅτε οἱ καταθύμιον ἦν τι,
Φοίβου τὸν πρὸ ποδῶν μάντιν ἄειρε λίθον,

Χείρεσι πειρᾴζουσα. καὶ ἰὼ βαρὺς ἰὼ ἵκα. μήτι
Ἡ θελεν· εἰ δ' ἐθέλοι, κυφότερος πεπάλων.
Αὐτὴ ὃ ὑπηνήσουσα τό οἱ φίλον, ἰὼ ποθ' ἁμῦδρον,
Φοίβῳ ἐπὶ αἰσίοις χεῖρας ἐπεγράφετο.

ΕΙΣ ΝΑΟΥΣ, χεξ νδ

ΑΝΤΙΠΑΤΡΟΥ.

Καὶ χαραλαῖς βαθυλώνος ὑπὲρ δρόμον ἅρμασι λῆχος,
Καὶ τὸν ἐπ' ἀλφειῷ ζωὸν κατηυγασάμην,
Καὶ πῶν τ' ἀγώνισμα, καὶ ἡλίοιο κέλευθον,
Καὶ μέγαν αἰπεινᾶν πυρσαμίδων κάματον,
Ναΐδα τε μουσώλειον πελώριον· ἀλλ' ὅτ' ἐσεῖδον
Ἀρτεμιδος νεφέων ἄρχει θοῦπα δόμον,
Κῦνα μὲν ἠμούρωτό τε, κἠν ἴδε νόσφιν ὀλύμπου
Ἄλιος, οὐδὲν πω τοῖον ἐπαυγάσατο.

Τοῦ αὐτοῦ.

Τέσσαρες ἀὼ ροῦσι πανυπερύγων ὑπὲ νώτων
Νῆχε ἰσοπέλθμους ἰθέας ἀθανάτων·
Ἀμὲ μὲν, ἀθλοφόραν πολεμοδόκον, ἀ δ', ἀφροδίταν,
Ἀ δὲ, τὸν ἀλκείδαν, ἀ δ', ἀφόβητον Ἄρη,
Σὸν κατευόρθωσεν γραπτὸν τέρος. ἐς δὲ νέονται
Οὐρανόν. ὦ ῥώμας γᾶς πάτερ ἔρυμα.
Θεῖα αἰνίκατον μὲν ὁ βουφάγος· ἁ δέ γε κύπρις,
Ἔγαμεν· ὔμνησεν παλλὰς, ἀτρεσὲς ἔπος.

ΜΝΑΣΑΛΚΟΥ.

Στῶμεν ἀγηράντοιο πρὸ θαμαλαὶ θῶνα πόντου
Δερκόμενοι τέμενος κυπρίδος εἰνοσίας,
Καὶ φάναν τ' ἀγτείρουσι καπάσκιον. ἧς ἄπο ναῦται
Ξανθαὶ ἀφύωνται χείλεσιν ἀλκυόνες.

ΑΔΡΙΑΝΟΥ βασιλέως εἰς τὰφον πομπήιου ἐν αἰγύπτῳ.

Τῷ ναοῖς βείθοντι πόση ἀσπὶς ἔπλεχε τύμβου·

ΕΙΣ ΝΑΥΑΓΙΟΝ, κεζ νεζ

ΖΩΣΙΜΟΥ ϑασίου.

Οὐ μόνον ὑσμίνησι καὶ ἐν γονόεντι κυδοιμῷ
Ῥύομ' ἀρητόλμου ϑυμὸν ἀναξιμβρότοις,
Ἀλλὰ καὶ ἐκ πόντου, ὁπότ' ἔφυσε νῆα ϑάλασσα,
Ἀσσοις, ἐφ' ἣ μετέρης νηξάμβνον σημίδος.
Εἰμὶ δὲ κἠν πελάγει καὶ ὅπῃ ϑανάτοιο ἐλπὶς ἐκείνῳ,
Τὸν ϑρασὺν ἐκ διπλῶν ῥύσασα μβύη ϑανάτων.

ΘΕΩΝΟΣ ἀλεξανδρέως.

Ἡ πάρος ἀντιπάλων γε ὑπέρτερος ἀσσοις ἀκόντων,
Ἡ φόνιον ϛυγνοῦ κῦμα φέρουσα μόϑου,
Ἀγλεον οὐδ' ὅτε πόντος ὑπὲρ κρόνον ἤλασε φωτί,
Καὶ πικρὴ ναυτέων ἔπλετ' ὀλιφϑορίη,
Συζυγίης ἀμβήσασα· καλὸν δέ σε φόρτον ἄρουσα,
Ναῦ φίλος εὐκλαίων ἄγγελις ἔβλεν λιμβένων.

ΙΟΥΛΙΟΥ ΛΕΩΝΙΔΟΥ.

Εἰν ἑνὶ κινδυνοις ἔφυγον δύο μυρτίλος ὅπλῳ,
Τὸν μβὺ, ϑρίσευσας, ὃν δ' ὑπενηξάμβνος
Ἀργέτης ὅτ' ἔδυσε νεὼς ὄφιν· ἀασίδα δ' ἔχον
Σωϑεὶς κεχριμβένῳ ὕδατι καὶ πολέμῳ.

ΙΟΥΛΙΟΥ ΔΙΟΚΛΕΟΥΣ.

Οὐκ οἶδ' εἴτε σάκος λέξαμί σε, τίω ὑπὸ πολλοὺς
Ἀντιπάλους πίσῃν σύμμαχον ὡπλισάμβην·
Εἴτε δὲ βαῒν ἐμοὶ πόντου σκάφος, ἥ μ' ἀπὸ νηὸς
Ὀλυμβάνης κόμισας νηκλὴν ἐπ' ἠιόνας.
Ἀρεῖος ἐν πολέμοις ἔφυγον χόλον, ἐν δὲ ϑαλάσσῃ,
Νηρῆος· σὺ δ' ἄρ' ἦς ὅπλον ἐν ἀμφοτέροις.

ΑΝΤΙΦΑΝΟΥΣ.

Νηὸς ἁλιρρέπου πλαγκτὸν κύτος εἶδεν ἀπ' ἀκτῆς
Μηλοβότης, βλοσυροῖς κύμασι συμβρόμνον·
Χῆρε δ' ἑὸν περίψυχον· τὸ δ' ἐπεσσάσατ' ἐς ϑυμὸν ἄγμης
Τὸν ϕόβον· οὕτω πᾶσιν ἀπημϑάνετο.
Ναυηγὸν δ' ὁ νομεὺς ἔσχεν μόρου. ὧ δι' ἐκείνου
Καὶ δρυμοὶ χῆρευσι πορθμίδα καὶ λιμβένες.

ΦΙΛΙΠΠΟΥ.

Νῆα μ' ὤλεσε πόντος, ἐμοὶ δ' ἔπορεν πάλι δαίμων
Πλαζομένῳ φύσιος νῆα ποθεινοτέρην.
Πατρὸς ἰδὼν γὰρ ἐγὼ δέμας εἰς ἐμὲ καίριον ἐλθὼν,
Μουνερέτης ἐπέβην, φόρτος ὀφειλόμενος.
Ἤγαγε δ' εἰς λιμένας με καὶ ἔσπειρεν δὶς ὁ πρέσβυς,
Νήπιον ἐν γαίῃ, δεύτερον ἐν πελάγει.

ΑΝΤΙΠΑΤΡΟΥ μακεδόνος.

Αἰεὶ θηλυτέρῃσιν ὕδωρ κακὸν ἠπόντος,
Ξεῖνε· κλεωνίκης πεύθεο δυῤῥαχίδος.
Πλῶε γὰρ ἐς σηστὸν μετὰ νυμφίον· ἐν δὲ μελαίνῃ
Φορτίδι τὴν ἡμῆς μοῖραν ἀπεπλάσατο.
Ἡρὼ δειλαίη, σὺ μὲν ἀνέρα, δηΐμαχος δὲ,
Νύμφην, ἐν παύροις ὤλεσα τε σταδίοις.

ΑΙΜΙΛΙΑΝΟΥ νικαέως.

Ἀβάλε χειμερίου με κατέκλυσε κύματα πόντου
Δειλαίην, νεκύων φόρτον ἀμειψαμένην.
Αἰδέομαι σωθεῖσα· τί μοι πλέον ὅρμον ἱκέσθαι,
Δευομένῃ φωτῶν πείσματα δησομένων;
Κωκυοῦ με λέγοιτε βαρὺ σκάφος. ὤλεσα φῶτας,
Ὤλεσα· ναυηγοὶ δ' εἰσὶν ἔσω λιμένος.

ΦΙΛΙΠΠΟΥ.

Ἰκαρίην τὸ πάρος πλώων ἅλα, νηὸς ὀλισθὼν
Δᾶμις ὁ νικαρέτου, κάππεσεν εἰς πέλαγος.
Πολλὰ πατὴρ δ' ἠρᾶτο πρὸς ἀθανάτους, καὶ ἐς ὕδωρ
Φθέγγετ', ὑπὲρ τέκνου κύματα λισσόμενος·
Ὤλετο δ' οἰκτίστως ἀεὶ βρυχθείς. κεῖνο δὲ πατρὸς
Ἔκλυεν ἀράων οὐδὲ πάλαι πέλαγος.

ΑΓΟΛΛΩΝΙΔΟΥ.

Καὶ πότε δινήεις ἄφοβος πόρος, εἰπὲ θάλασσα,
Εἰ καὶ ἐν ἀλκυόνων ἤμασι κλαυσόμεθα;
Ἀλκυόνων, αἷς πόντος ἀεὶ στηρίζατο κῦμα
Νηνέμον, ὡς κρῖναι χέρσον ἀπιστοτέρην.

Αλλὰ καὶ ἰώνικα γράμματα καὶ ὠδίνεσιν ἀπήμων
Ἀγχεῖς, σοὶ φόρτῳ δύσας ἀριστομύλῳ.

ΒΑΣΣΟΥ.

Ὁ λήθυμναι νήσοισι καθ' Ἑλίδες, αἳ ποτε νόσον
Ὠλέσαθ' ὑγιώων, καὶ σόλον ἰλιόθεν,
Πυρσὸς ὅτε ψυχῆς χθονίης δνοφερώτερα νυκτὸς
Ἠψε στέλαι, τυφλὴ δ' ἔδραμε πᾶσα βάτις
Χοιράδας ἐς πέτρας, δθνείοις πάλιν ἰλιὸς ἄλλη
Ἔπλετο, καὶ δεκέτοις ἐμφερτέρη πολέμου.
Καί τιν' ὁδὸν μολόντ' ἔφρασαν, αἰχμητὸς δὲ καὶ φηρὸς
Νάυπλιε. σοὶ γὰρ πολλὰς ἔκλαυσε δάκρυ.

ΑΡΓΕΝΤΑΡΙΟΥ.

Ἐρασθὴς ἡλᾶτ' ἐπ' οἰνοπότῃσι λάγυνε,
Νηδύος ἐκ πάσης χυαμὸν βεβιμον.
Τηλόθε γὰρ λίθος εἰς σε βαρύσονος, οἷα κεραυνὸς,
Οὐδὸς ἐκ χθονὸς, ἀλλὰ δι' ὠνὸς ἔβη.
Ἦν ὃ γλῶς ὅπι σοὶ, κἠ σκώμματα πολλὰ, τυπεῖσης,
Καὶ πολιὸς ἐξ ἑτάρων μυχόμυθος θορυβος.
Οὐ θρίω σε λάγυνε, τὸν ἀσκῆσα τεχοῦσαν
Βάκχον, ἐπεὶ σεμέλη καὶ σὺ πεπόησαι ἴσα.

ΦΙΛΙΠΠΟΥ.

Καθθείσης ποτὲ νηὸς ἐν ὕδασι, δῆσεν ἑταίρους
Δαιτὶ θοῇ μοιρίης μοῦνα μόνοι σανίδος.
Τύμβῳ μοι αἰπεινόρης πεισίστρατον· οὐ νεμεσητόν·
(Ἦν γὰρ ἴσον ψυχῆς) ἀλλ' ἐμέλησε δίκη.
Νηχεῦ ὁ μόνος, τὸν σὲ εἶλε κύων ἅγιος. πόντου ἀσφαλὲς ἤρων οὐδὲ ὑγρῷ παύεται ἐν πελάγει.

ΕΙΣ ΝΑΥΤΙΛΙΑΝ,

χξ νς

ΑΝΤΙΠΑΤΡΟΥ.

Γλαρότης ἀγχίπορος ὅτ' ἐν νούσοιο βαρείης
Ἄρτι λιποψυχέων ἔρρεεν εἰς ἀΐδην,
Εἶπε πάλ' ἡίεσιν, ὦ φίλα τέκνα, μάκελλαν
Καὶ τὸν ἀροτρεντὴν τέρξατέ μοι βιότον.

Μὴ σφοδερῆς ἀήσητε πόνον τονόεντα θαλάσσης,
Καὶ βαρυὰ πτερῆς ναυτιλίης κάματον.
Ὅσσον μητρυιῆς γλυκερωτέρη ἔπλετο μήτηρ,
Τόσσον ἀλὸς πολιῆς γαῖα μαλερωτέρη.

ΑΝΤΙΦΙΛΟΥ Βυζαντίου.

Τόλμα, νεῶν ἀρχηγέ, σὺ γὰρ δρόμον οὖρεσι πόντου,
Καὶ ψυχὰς ἀνδρῶν κέρδεσιν ἡρέθισας,
Οἷον ἐτεκτήνω δόλιον ξύλον, οἷς ἐνὶ ἅρπαξ
Ἀνθρώποις θανάτῳ κέρδος ἐλεγχόμενον.
Ἦν ὄντως μερόπων χρύσεον γένος, εἶτ' ἀπὸ χέρσου
Τηλόθεν ὡς ἀΐδης πόντος ἀπεβλέπετο.

Τοῦ αὐτοῦ.

Γλαῦκος ὁ νεασσοῖο δρομαλωόσιν ὁδηγὸς
Γόρθμου, καὶ θασίων ἔνθεος ἀγητῆρ,
Γόντου ἀρότρευτον ἐπιδέξιος οὔποτ' ἔκνωσε
Γλαυκομυῒ τροφαῖον πηδάλιον παλάμῃ,
Μυελέτης, ἁλίοιο βίου ῥάκος· οὐδ' ὅτ' ἐμόγει
Θυννίδι, σκιὸς ἔβη γηραλέης σανίδος.
Τοὶ δὲ κέλυφος ἔκλασαν ἐπ' αἰγιαλῷ, τόφρα γραμὸς
Πλώσῃ ἐπ' οἰκείης εἰς ἀΐδα ἀκάτου.

ΛΕΩΝΙΔΟΥ.

Ὁ πλόος, ὡραῖος. καὶ γὰρ λαλαγεῦσα χελιδὼν
Ἤδη, μέμβλωκεν, χὠ χαρίεις ζέφυρος·
Ἀφρώδεες δ' αὐτοῖσι σεσίγηκεν δὲ θάλασσα
Κύμασι καὶ τρηχεῖ πνεύματι βεβαρυμένη.
Ἄρατε λαίφεα, καὶ ἐλαφρύνασθε γύαλα,
Ναῦται, καὶ πλώοις πᾶσαν ἐφεὶς ὀθόνην.
Αὐτὸς ὁ χαλινὸς ἐγὼν ὑπιτέλλομαι, ὁ λιμενίτης
Ἀνθεσφόρος, ὃς πλώοις πᾶσαν ἐμπορίην.

ΑΝΤΙΠΑΤΡΟΥ σιδωνίου.

Ἀκμῆτος ῥοθίῃ νηὶ δρόμος· εὐδὲ θάλασσα
Γοργύρῃ ἐμπνοίῃ Θρηικὶ ζεφυρομυθεῖ.
Ἤδη δὲ πλάζεται μὴ ὑπτιόεσσα γυαλὰ χελιδών
Οἰκία, λιμένων δ' ἄμβατα γῆρυ πέταλα.

Τοιὥνεκα μηρύσασθε δίχ' ὀρεσσα πείσματα ναῦται,
Ελκετε δ' ἀγκύρας φωλάδας ἐκ λιμένων.
Λαίφεα δ' ἀΰφεα πρεσβονίζετε. ταῦτ' ὁ τρίηπος
Υμμιν ἐνορμίτας παῦς ἐνέπω βεσμίου.

ΜΑΡΚΟΥ ΑΡΓΕΝΤΑΡΙΟΥ.

Λῦσον ἀπ' ὀρμων δολιχὰ πρυμνήσια νηῶν,
Εὔτεσσα δ' ἐκπετάσας λαίφεα, πομπὸς ἔπου,
Εμπορε. χἠμῶνες γὰρ ἀπέδραμον, ἤρι δὲ κῦμα
Γλαυκὴν θηλυτέρῳ πρηΰνεται ζεφύρῳ.
Η δὴ καὶ φιλότεκνος ὑπὸ ταυλοῖσι χελιδὼν
Χείλεσι καρφίτιν πηλοδομεῖ θάλαμον.
Ανθεα δ' ἀντέλλουσι καὶ ἠδονα τῷ, σὺ πρίηπῳ
Γῆθόμβος, πάσης ἄπτερος ναυτιλίης.

ΣΑΤΥΡΟΥ ΘΥΙΛΑΟΥ.

Η δὴ πηλοδομεῦσι χελιδόνες, ἠδὴ ἀν' οἶδμα
Κολποῦται μαλακὰς εἰς ὀθόνας ζέφυρος.
Η δὴ καὶ λαμῶνες ὑπὸ πετάλων ἐχέαντο
Ανθεα, καὶ πεπύκασται μέμυκε πόρος.
Σοὶ νους μηρύεσθε ἐφ' ὁλκάδα, φορτίζεσθε
Αγκύρας, καὶ πρῷ λαῖφος ἑφεσθε κάλοις.
Τοῖς ὑμῖν πλώουσιν ἐπ' ἐμπορίῃ ὁ τρίηπος
Ο λιμενορμίτης ναυτιλίῃ κραίνομεν.

ΣΑΤΥΡΟΥ.

Η δὴ μυζέφυρος πλοιοτόκου ὑγρὸν ἄημα
Η ρέμα λαμῶνας πνείῃ ἐπ' αὐλοκόμους,
Κεκροπίδες δ' ἠχοῦσι, γαλιωτὶ δὲ θάλασσα
Μαλακὰ, κρυεροῦ ἄτρομος ἐξ ἀνέμων.
Αλλ' ἴτε, θαρσαλέοι πρυμνήσια λύετε ναῦται,
Πίνατε δ' ὑπερύγων λευκὰ λέας κολίδας.
Ω ἴτ' ἐπ' ἐμπορίῃ πίστιοι χρηίεντι τρίηπι,
Ω ἴτε δὴ λιμένων δαίμονι πειθόμενοι.

ΑΡΧΙΟΥ.

Τοῦδέ με κυματοπλῆγος ὑπὸ σκοπέλοιο τρίηπος
Νῆται θρηικίου θέντο πόρου φύλακα.

Γ ολλάκις οἷς ἠίξα ζαχὺς καλέουσιν ἀρωγὸς
Ξ ῆνε, χ᾽ ὡρύμυης ἡδυὺ ἄγων ζέφυρον.
Τ οιῶ ἕκεν οὔτ᾽ ἄκνιαον, (ὅσσ᾽ ἤεμις) ὄτ᾽ ὀπίδω
Ε ἴαρος ἀνῆκε βωμὸν ἐμὸν κεφαίων,
Α λλ᾽ αἰεὶ θυέντα καὶ ἔμπυρον. ἐν δὲ ἑκατόμβῃ
Τ όσσον, ὅσσον ὑμὴ δαίμοσιν αἰδάνεται.

ΑΓΑΘΙΟΥ σχολαστικοῦ.

Ε ὖδε μὺ πόντος πορφύρεται. οὐ γὰ ἀήτης
Κ ύματα λευκαίνῃ φερικὴ χάραδρα θύνων.
Ο ὐκ ἔπι ἰ ἀσιλάδεσι κεκλαδεῖσα θάλασσα,
Ε μπαλιν αὐτωπὸς κοῖλος βάθος εἰσάγεται.
Ο ἱ ζέφυροι πνείουσιν· ἐπιτρύζῃ δὲ χελιδὼν,
Κ αὶ φεσι κελλητὴν πεζαμένη θάλαμον.
Θ αρσῇ ναυβιλίης ἐμπείρατε, καὶ κατὰ σύρτιν,
Κ αὶ κατὰ σικελικὴν ποντοπορῆς κροκάλιον.
Μ οιῶν ὁρμίσατο πρὸς βωμοῖσι κριήπου
Η σκάφος, ἢ βῶκας φλέξον ἐρυθροθύους.

Καλλίπες· ὃς βιοτὴν θεοτερπέα σεῖο λιγαίνων,
Γράψε τάδ' ἐσσομένοις μνημήϊα σῶν ἀρετάων.

Εἰς πλάτωνα, Αδηλον.

Ατθίδος εὐγλώσσου στόμα φέρτατον, οὐ σέο μεῖζον
Φθέγμα πανελληνὼν πᾶσα κέκευθε πόλις.
Πρῶτος δ' εἴς τε θεὸν καὶ ἐς οὐρανὸν ὄμμα τανύσας
Θεῖε πλάτων, ἤθη καὶ βίον ηὐγάσαο,
Σωκρατικῷ σάμιον κεράσας κρητῆρι φρόνημα,
Κάλλιστον σεμνῆς σῆμα διχοστασίης.

Αποφθέγματα τῶν ἑπτὰ σοφῶν.

Επτὰ σοφῶν ἐρέω κατ' ἔπος πόλιν, οὔνομα, φωνήν.
Μέτρον μὲν κλεόβουλος ὁ λίνδιος εἶπεν ἄριστον·
Χίλων δ' ἐν κοίλῃ λακεδαίμονι, γνῶθι σεαυτόν·
Ος δὲ κόρινθον ἔναιε, χόλου κρατέειν, περίανδρος·
Πιττακὸς, οὐδὲν ἄγαν, ὃς ἔην γένος ἐκ μιτυλήνης·
Τέρμα δ' ὁρᾷν βιότοιο, σόλων ἱεραῖς ἐν ἀθήναις·
Τοὺς πλέονας κακίους δὲ, βίας ἀπέφηνε πριήνεύς·
Εγγύην φεύγειν δὲ, θαλῆς μιλήσιος ηὔδα.

ΙΟΥΛΙΑΝΟΥ βασιλέως εἰς τὸ ὄργανον.

Αλλοίην ὁρόω δονάκων φύσιν· ἦπου ἀπ' ἀλλῆς
Χαλκείης τάχα μᾶλλον ἀνεβλάστησαν ἀρούρης,
Αγριοι, οὐδ' ἀνέμοισιν ὑφ' ἡμετέροις δονέονται,
Αλλ' ὑπὸ ταυρείης προθορὼν σπήλυγγος ἀήτης,
Νέρθεν ἐϋτρήτων καλάμων ὑπὸ ῥίζαν ὁδεύει.
Καί τις ἀνὴρ ἀγέρωχος ἔχων θοὰ δάκτυλα χειρὸς,
Ισταῖ ἀμφαφόων κανόνας συμφράδμονας αὐλῶν·
Οἱ δ', ἁπαλὸν σκιρτῶντες, ἀποθλίβουσιν ἀοιδήν.

Αδηλον.

Τῇ τῶν λόγων σου κογχύλῃ πορφύριε

Βάπτεις τὰ χείλη, καὶ στολίζεις τὰς φρένας.

Αδηλον.

Ηφύσις ἐξεῦρεν, φιλίης θεσμοὺς ἀγαπῶσα,
Τῶν ἀποδημούντων ὄργανα συντυχίης,
Τὸν κάλαμον, χάρτην, τὸ μέλ', τὰ χαράγματα χεὶ
Σύμβολα τῆς ψυχῆς τηλόθεν ἀχνυμένης. (ρός,

Αδηλον, εἰς Ἡρακλειτον.

Μὴ τὰ χὺς Ἡρακλείτου ἐπ' ὀμφαλὸν εἵλυε βίβλον
Τοὐφεσίου· μάλα τοι δύσβατος ἀτραπιτός.
Ορφνη καὶ σκότος ἐστὶν ἀλάμπετον· ἢν δέ σε μύστης
Εἰσαγάγῃ, φανερὸν λαμπρότερ' ἠελίου.

Αδηλον, εἰς πυθαγόραν.

Ηνίκα πυθαγόρης τὸ περικλεὲς εὕρατο γράμμα
Κεῖν' ἐφ' ὅτῳ κλειτὴν ἤγαγε βουθυσίην,
Δὴ τότε μιν στυφελιζομένου σκύλακος περιόντα
Φασὶν ἐποικτεῖραι, καὶ τόδε φάσθαι ἔπος,
Παῦσαι, μηδὲ ῥάπιζ', ἐπειὴ φίλου ἀνέρος ἐστὶ
Ψυχὴ, τὴν ἔγνων, φθεγξαμένης αἰῶν.

ΕΙΣ ΦΙΛΟΣΤΟΡΓΙΑΝ, κετὰ πζτ

ΑΛΦΕΙΟΥ.

Χειμερίαις νιφάδεσσι παλυνομένα τίθὰς ὄρνις,
Τέκνοις εὐναίας ἀμφέχεε πτέρυγας,
Μέσφα μιν οὐράνιον κρύος ὤλεσεν· ἦ γὰρ ἔμεινεν
Αἰθέρος οὐρανίων ἀντίπαλος νεφέων.
Πρόκνη καὶ μήδεια κατ' ἄϊδος αἰδέσθητε
Μητέρες, ὀρνίθων ἔργα διδασκόμεναι.

Αδηλον.

Εκ πυρὸς ἰλιακοῦ, δοράτων μέσον ἥρπασεν ἥρως
Αἰνείας ὅσιον παιδὶ βαρὸς πατέρα.
Εκλαγε δ' ἀργείοις, μὴ ψαύετε· μικρὸν ἐς ἄρη
Κέρδος ὁ γηραλέος, τῷ δὲ φέροντι, μέγα.

ΑΡΧΙΟΥ.

Οὐ τόσον οὐδ' ἀθάμας ἐπεμήνατο παιδὶ λεάρχῳ,
Οσσον ὁ μηδείης θυμὸς ἐτεκνοφόνει·

Ζῆλος ἐπεὶ μανίης μεῖζον κακόν. εἰ δὲ φονεύοι
Μήτηρ, ἐν τίνι νεῦ πίστις ἔτ' ἐστὶ τέκνων;

Τοῦ αὐτοῦ.

Αἶαν ὅλεσσον νήσους τε διώσαμεν ἐν χελιδόνι,
Μηδείης γραπτῇ πυκίλῃ νοσοδόφης.
Ἐλπὴ δ' ὀρταλίχων πίστιν σέο τίν δὲ φυλάξῃ
Κολχίδα, μησὶ δ' ἰδίων φόσαμεν τεκέων;

ΜΕΝΕΚΡΑΤΟΥΣ σμυρναίου.

Γαμοῦν ὅτι προτέρῃσι ἤδη τρίτον ἐν πυρὶ μήτηρ,
Θῦσα, καὶ ἀπλήστῳ δαίμονι μεμφομένη,
Τέρατον ἄλγος ἔτικτε, καὶ οὐκ ἀνέμεινεν ἀδῆλους
Ἐλπίδας, ἐν δὲ πυρὶ ζωὸν ἔθηκε βρέφος·
Οὐ θρέψω, λέξασα· τί γὰρ πλέον ἀΐδι μαστοὶ
Κάμνετε; κερδήσω πένθος ἀμοχθότερον.

ΑΝΤΙΠΑΤΡΟΥ Θεσσαλονικέως.

Παῖδός ἀφ' ὑψηλῶν κεφάλων ἐπὶ ἄκρα μέτωπα
Κύπτοντος, (μοῖραν νηπιάχοις ἄφοβον)
Μήτηρ ἐξόπιθεν μαζῷ μετέτρεψε νόημα.
Δὶς δὲ τέκνῳ ζωὸν ἔσχε μέλος γάλα.

ΕΙΣ ΦΡΟΝΗΣΙΝ, κεζ πῆζ

ΛΟΥΚΙΑΝΟΥ.

Ἡ βραδύπους βουλή, μέγ' ἀμείνων· ἡ δὲ ταχεῖα
Αἰὲν ἐφηνεμίῃ τὴν μετάνοιαν ἔχει.

Ἀδήλου.

Εἰς σὲ καὶ ἀψευδὴς ἐψεύσατο βίβλος ὁμήρου,
Ὅπλοτέρων ἐνέπουσα μετώπεα δίωα φωτῶν.

ΕΙΣ ΦΡΟΝΤΙΔΑΣ, κεζ πθζ

ΜΙΜΝΕΡΜΟΥ.

Τὸν σαυτῆς φρένα τέρπε· δυσηλεγέων δὲ πολιτῶν
Ἄλλος τίς σε κακῶς, δῆλος ἀμείνον ἐρεῖ.

ΓΑΛΛΑΔΑ.

Εἰ δὲ μὴ ἐν δώμασί τι, μεσείμνια, καὶ μὴ ἔπω σοί·
Εἰ δὲ μὴ ἔπω σοί, σῷ δαίμονι, σοὶ τί μέλῃ;

Ο ὔτε μεμνήσῃς δίχα δαίμονος, ὅτ' ἀμνήσῃς·
Α λ' ἵνα σοί τι μνήμη, δαίμονι τοῦτο μέλῃ.

Τοῦ αὐτοῦ.

Τίπτε μάτην ἄνθρωπε πονῇς, καὶ πόντια ταρβαίνεις,
Κλήρῳ δουλεύων τῷ κατὰ τὴν γνώμην;
Τοῦτ' ἔστιν σαυτὸν ἄφες. τῷ δαίμονι μὴ φιλονεικεῖ·
Σὺ δὲ τύχῃ χάρηον, ἡσυχίῃ ἀγάπα.
Μᾶλλον ἐπ' εὐφροσύνην ὁ βιάζεο καὶ τὸν δὲ μοίρην
Εἰ δυνατὸν ψυχῇ τερπομένῳ μετάγειν.

ΕΙΣ ΧΡΟΝΟΝ, κεῖ ζῆ

ΓΛΑΤΩΝΟΣ.

Αἰὼν πόντια φέρει· δολιχὸς χρόνος οἶδεν ἀμείβειν
Ο ὦμα, καὶ μορφήν, καὶ φύσιν, ἡ δὲ τύχη.

Αδηλον.

Αργαλέως φέρει πολιὸς χρόνος· ἀλλὰ πόρεπτον,
Καὶ φωνὰς κλέπτει φθεγομένων μερόπων.
Καὶ μὴ φαινόμενος, τοὺς φαινομένους ἀφανίζει.
Καὶ μὴ φαινομένους, εἰς φανερὸν τε φέρει.
Ω ζωῆς ἀόριστος ἀνθρώποισι τελευτή,
Η μὲν ἐπ' ἠμὲν ἀεὶ τοὺς ζόφον ἐρχομένους.
Μηκέτι κληρονόμους ὀνομάζετε φέγγος ὁρῶντας,
Τοὺς δ' ἀποθνήσκοντας, κληρονόμους λέγετε.
Οἱ νῦν κληρονόμοι νέκυες μέγα κέρδος ἔχουσι,
Τὴν ἀναχώρησιν τοῦ μογεροῦ βιότου.
Τὴν πόλιν οἱ νέκυες τοῦ στερεὸν ζῶσαν κατέλιπον.
Η μεῖς δὲ ζῶντες τὴν πόλιν ἐκφέρομεν.

ΓΑΛΑΔΑ.

Νυκτὸς ἀνορχομένης γινώμεθα, ἠμὲν ἐπ' ἠμὲν,
Τοῦ τοῦ στερεοῦ βιότου μηδὲν ἔχοντες ἔτι.
Αλλοτριωθέντες τῆς ἐνθεσινῆς ἀφαγωγῆς,
Τοῦ λοιποῦ ὁ βίου σήμερον ἀσχόλιμοι.
Μὴ τίνι λέγε σαυτὸν ἐπὶ τοῦ πρεσβῦτα τοῦ ἐόντων.
Τῶν γὰρ ἀπελθόντων σήμερον οὐ μετέχεις.

Τοῦ αὐτοῦ.

Ω τῆς βεβαχείας ἡδονῆς τῆς τοῦ βίου.
Τ ἰὼ ὀξύτητα τοῦ χρόνου πεινήσατε.
Η μεῖς καθεζόμεθα καὶ κοιμώμεθα,
Μ οχθοιῶντες ἢ τευφῶντες· ὁ δὲ χρόνος πτέχῃ,
Τ ρέχῃ καθ' ἡμῶν τῶν ταλαιπώρων βροτῶν,
Φ έρων ἑκάστου τὰς βίῳ καταστροφάς.

Ἄδηλον. (ης.

Τ ὴν ὡρότεραν θυμὸν μὴ τ' ἔμβλεπε, μήτε πρέλ
Ν ιῶ ἄπαγε δραχμῆς εἰς κολοκυνθόκολα.
Κ αὶ σῦκον δραχμῆς ἐγίγνεται· ἰὼ δ' ἀναμείνης,
Χ ίλια. τοῖς ὠμοχροῖς ὁ χρόνος ὀξὺ θεός.

Ἄδηλον.

Τ ῆς ὥρας ἀπόλαυε. τὸ δακμάζῃ ταχὺ πνεῦμα·
Ε ν θέρος ἐξ ἐείφου πεπτὸν ἔφηκε πτάγον.

Ἄδηλον.

Τ ὸ ῥόδον ἀκμάζῃ βαθὺ χρόνον· ἰὼ δὲ παρέλθῃ,
Ζ ητῶν οὐρήσῃς οὐ ῥόδον, ἀλλὰ βάτον.

ΕΙΣ ΩΡΑΣ, ΚΑΙ ΜΗΝΑΣ, ΚΕΦ ΖΑΣ

Ἄδηλον.

Ε ξ ὥραι μόνοις ἱκανώτατα· αἱ δὲ μετ' αὐτὰς,
Γ ράμμασι δηκνύμεναι, ξυνὸν λέγουσι βροτοῖς.

Μῆνες ἀγυιάτιον, ὧν πρῶτος σεπτέμβριος.
Π ρῶτος γὰρ ἐδάη δρεπάνῳ ὅτι βότρυα ἐγείρω,
Θ υμόλοισι φάσγανα φέρῃ πάμμηκιν ἄγκιλον,
Γ λυκάδων φαίνουσαν ἀμπελουργὸς ὥραν,
Χ οιράκ ἀπὸ μελάνων σταφυλῶν δείκνυσι γλυκὺ λίθος,
Τ οῖς δὲ πορφύρεον βουλὴ φόρον εἶμα πιταίνῃ,
Σ ημάνῃ πλωτῆρσι μέγα πλόον ἀμφιπολεύων.
Α ρεὸς ὅπλα φέρῃ φαμμώθ δείκνυσι μαχητάς,
Ε ἰαρινῶν φαρμοῦται ῥόδων πρόσφατος ἄγγελος ὅστις,
Λ ιὰ δ' ἀναθήνατα πάγων δρεπάνοισι φυλάσσει,

Ε ὐκάρπου δὲ παῦρὶ τοῦ ἀγελὸς ἔστιν ὀπώρης,
Κ αὶ σα φυλλώ κατέχων βύαμπελός ἔστιν ἐπηφί.
Κ αὶ μεσοῦ ἐὶ νείλοιο φέρῃ φρισσόον ὕδωρ.

Μῆνες ῥωμαίων.

Ιανουάριος.

Ε ξ ἐμέθεν, λυκάβαντος ἐπ' ἠβήιον θύρε[illegible]
Α ὐσονίοις ὕψος δέρκεται ἠέλιος.

Φεβρουάριος.

Α ὐτὰρ ἐγὼ δαμνῆς χαίτῳ νιφάδεσι διαίνω,
Τ ὅχων εἰαρινῆς ἔγκυον ἀγλαΐης.

Μάρτιος.

Α ρχετ' ἄρης ἀπ' ἐμεῖο, καὶ αὖθεα, καὶ γλάγος ἤδη·
Ι σῃ δ' εἰκοσάδι ἤματι νὺξ τελέθει.

Απρίλιος.

Ε ντύνοι τῆμος δὲ φυτοσκάφος ἔρνεα πάμπων,
Ρ ίζῃ ἐπ' ἀκροπάτῃ ἤμερον ἀκρέμονα.

Μάϊος.

Ο ἴγεται ἄζετι θάλασσα, ἐφοπλίζοιτε δ' ἧνας·
Ω ὄλον ἀκλύστων ἔκλος ἄγειν λιμένων.

Ιούνιος.

Μ εσσάτιος ῥόδου εἰμὶ καὶ ἀρχομένοιο χρίνοιο,
Κ αὶ ξανθῆς κεφάσι βεῖδομαι ἀκρέμοσιν.

Ιούλιος.

Κ αρκίνον ἠέλιος μεταναίεται· ἀσάχνας δὲ
Κ αρφοφόρος χείρῃ γλοπάνος δρεπάνῃ.

Αὔγουστος.

Κ εἶνο ἐγὼ πυρρόν καὶ ἀχρμιάς· ἐν δὲ λέοντι,
Α πεκέα τελέθει χεύματα νηϊάδων.

Σεπτέμβριος.

Β είθω ἐγὼ σταφυλῇ, βείθω δ' ὅτι πάσῃ ὀπώρῃ·
Α ὖθις δ' ἰσοπαλὴς γίνεται ἤματι νύξ.

Οκτώβριος.

Τ ίς δέ κ' ἐμεῖο πέλοι γλυκερώτερος, ὅς μύθῳ λιγῷ
Η δὺ ἐπικαπάγῳ, βάκχον ἀπ' οἰνοπέδου;

Νοέμβριος.

Εἴ τοι ἀθλιώτατος πέλω ἔρνεα, ὤριον ἤδη
Κάρπον ἀποθλίβων, μυῆσιν ἔχων καμάτων.

Δεκέμβριος.

Παύσασθαι νόσου κέλομαι. γλαφυρώτερα δ' ἤδη
Σπέρματι ῥιγεδανὴ πηγυλὶς αἰτιάσῃ.

Εἰς τοὺς αὐλούς.

Μιὸν ὑπάτων πρῶτος· ὁ δ' ὕστερος αὖλακα τέμνῳ·
Ὁ τρίτος, αὐσονίων ἡμιτόνιον ὅτι μᾶλλον ἐγείρῳ·
Τέτρατος ἀγλαΐῃ ῥοδοδάκτυλον εἶαρος ὥριον.
Εἰμὶ ῥόδων ἡμέτης, καὶ ἐγὼ κρίνα λευκὰ κομίζω.
Οὗτος ἀμαλλοδέτης· τὰ δ' ἐμὰ πέρα νάλῶν ἐγείρῃ.
Οὗτος ἄρισταφύλῳ πεφιλημένος ἔπλετο βάκχῳ,
Τεύχω δ' οἶνον ἐγὼ μηδέα, χάρμα βροτοῖσι.
Δαῖτα φέρω μελέεσσιν ἐς ἤθεα φωτὸς ἑκάστου.
Φορμίζειν δεδάηκα, καὶ ὑπνώοντας ἐγείρω.

Εἰς τὸ ἔαρ.

Χείματος ἰωὴ μόεντος ἀπ' αἰθέρος οἰχομένοιο,
Γοργοφυρὴς μείδησε Φεραυγέος εἴαρος ὥρη.
Γαῖα γὰ κυανέῃ χλοερὴν ἐσέφατο πόαν,
Καὶ φυτὰ θηλήσαντα νέοις ἐκόμισε πετήλοις.
Οἱ δ' ἀπαλὴν πίνοντες ἀεξιφύτου δρόσον ὥρης
Λαμπῆνες γελόωσιν, ἀνοιγομένοιο ῥόδοιο.
Χαίρει καὶ συέλλη νομεὺς ὀρέεσι λιγαίνων,
Καὶ πολιοῖς ἐέλδοις ὀπιτέρπεται αἰπόλος αἰγῶν.
Ἤδη δὲ πλώουσιν ἐπ' εὐρέα κύματα ναῦται,
Πνοιῇ ἀπημάντῳ ζεφύρου λίνα κολπώσαντες·
Ἤδη δ' εὐάζουσι φερέσταφύλῳ διονύσῳ
Ἀνθεῖ βοσκομένης ἐρεφομένοι τείχεα κισσῷ.
Ἔργα δὲ τεχνήεντα βοηθρέεσι μηίσασθαι
Καλὰ μήτηρ, καὶ σιμβλῳ ἐφημένη ἐργάζονται
Λευκὰ πολυτρήτοιο νεόρρυτα κάλλεα κηροῦ.
Γαίτη δ' ὀρνίθων ἡμερὴ λιγύφωνος ἀείδει,
Ἀλκυόνες τ' εἰκυμα, χελιδόνες ἀμφὶ μέλαθρα,

Κύκνος ἐπ' ὄχθαισιν ποταμοῦ, χὐπ' ἄλσος ἀηδών.
Εἰ δὲ φυτῷ χαίρεσι κόμαι, καὶ γάμα τέθηλε,
Συρίζῃ δὲ νομεύς, καὶ τέρπεται βύκολα μῆλα.
Καὶ ναῦται πλώουσι, διώνυσος δὲ χορεύῃ,
Καὶ μύῃται πετεινά, καὶ ὠδίνουσι μέλισσαι,
Γῶς οὐχὴ καὶ ἀοιδὸν ἐν εἴαρι καλὸν ἀείσαι;

ΘΕΩΝΟΣ μονόστιχον εἰς τὸν ἑβδομάδα.

Ζεὺς, ἄρης, παφίη, μήνη, κρόνος, ἥλιος, ἑρμῆς.

Τέλος τοῦ πρώτου τμήματος τῆς αὐτολογίας διαφόρων ἐπιγραμμάτων.

Ἐν τῷ ἑξῆς δευτέρῳ τμήματι σκωπτικῷ ὄντι περιέχεται κεφάλαια τάδε.

Εἰς ἀγωνιστάς,	κεζ α	Εἰς θυγατέρας,	κεζ κα
Εἰς ἀδυνάτον,	κεζ β	Εἰς ἰατρούς,	κεζ κβ
Εἰς αἰσώπους,	κεζ γ	Εἰς ἵππους,	κεζ κγ
Εἰς ἅρπαγας,	κεζ δ	Εἰς κιθαρῳδούς,	κεζ κδ
Εἰς ἀσελγεῖς,	κεζ ε	Εἰς κλέπτας,	κεζ κε
Εἰς ἀστρονόμους,	κεζ ϛ	Εἰς κωφούς,	κεζ κϛ
Εἰς βραχεῖς,	κεζ ζ	Εἰς κυβευτήν,	κεζ κζ
Εἰς βδελυκτά,	κεζ η	Εἰς κυνηγόν,	κεζ κη
Εἰς γραῦς,	κεζ θ	Εἰς κωμῳδόν,	κεζ κθ
Εἰς γραμματικούς,	κεζ ι	Εἰς κωφούς,	κεζ λ
Εἰς γυναῖκας,	κεζ ια	Εἰς λαμπρούς,	κεζ λα
Εἰς δήλους,	κεζ ιβ	Εἰς λεπτούς,	κεζ λβ
Εἰς δυσδεεῖς,	κεζ ιγ	Εἰς μακρούς,	κεζ λγ
Εἰς δυσώδεις,	κεζ ιδ	Εἰς μεθύσους,	κεζ λδ
Εἰς δολίους,	κεζ ιε	Εἰς μιλιάριον,	κεζ λε
Εἰς δούλους,	κεζ ις	Εἰς νομικούς,	κεζ λϛ
Εἰς δῶρα,	κεζ ιζ	Εἰς ὀκνηρούς,	κεζ λζ
Εἰς ἐρῶντας,	κεζ ιη	Εἰς ὀρχηστάς,	κεζ λη
Εἰς ζωγράφους,	κεζ ιθ	Εἰς παχεῖς,	κεζ λθ
Εἰς ἡγεμόνας,	κεζ κ	Εἰς ποιητάς,	κεζ μ

Εἰς πλοῖα,	κεζ' μα	τα,	κεζ' μζ
Εἰς πολυτεχνεῖς,	κεζ' μβ	Εἰς τολμηροὺς,	κεζ' μη
Εἰς πονηροὺς	κεζ' μγ	Εἰς ὑβριστὰς,	κεζ' μθ
Εἰς πορδὴν,	κεζ' μδ	Εἰς φειδωλοὺς,	κεζ' ν
Εἰς παροριστὴν,	κεζ' με	Εἰς φθονεροὺς,	κεζ' να
Εἰς ῥήτορας,	κεζ' μϛ	Εἰς φιλοσόφους,	κεζ' νβ
Εἰς συμποτικὰ ἀστεῖσμα-		Εἰς χωλοὺς,	κεζ' νγ

ΑΝΘΟΛΟΓΙΑΣ

διαφόρων ἐπιγραμμάτων, εἰς ἑπτὰ βιβλία διῃρημένης, τὸ δεύτερον.

ΕΙΣ ΑΓΩΝΙΣΤΑΣ, κεζ' α

ΛΟΥΚΙΛΛΙΟΥ.

Οὗτος ὁ νῦν βέλτιστος ὀλυμπικὸς εἶχε τὸ πρόσθεν
Ῥῖνα, γένειον, ὀφρὺν, ὠτάρια, βλέφαρα·
Εἶτ' ἀπογραψάμενος πύκτης, ἀπολώλεκε πάντα,
Ὥστ' ἐκ τῶν πατρικῶν μηδὲ λαβεῖν τὸ μέρος.
Εἰκόνιον γὰρ ἀδελφὸς ἔχων προενήνοχεν αὐτοῦ·
Καὶ κέκριτ' ἀλλότριος, μηδὲν ὁμοῖον ἔχων.

Τοῦ αὐτοῦ.

Εἰκοσέτους σωθέντος ὀδυσσέος εἰς τὰ πατρῷα,
Ἔγνω τὴν μορφὴν ἀργὸς ἰδὼν ὁ κύων·
Ἀλλὰ σὺ πυκτεύσας στρατοφῶν ἐπὶ τέσσαρας ὥρας,
Οὐκ υἱὸν ἄγνωστος, τῇ δὲ πόλει γέγονας.
Ἦν ἐθέλῃς δὲ πρόσωπον ἰδεῖν ἐς ἔσοπτρα σεαυτοῦ,
Οὐκ εἰμὶ στρατοφῶν, αὐτὸς ἐρεῖς ὀμόσας.

Τοῦ αὐτοῦ.

Κόσκινον ἡ κεφαλή σου, ἀπολλόφανες, γεγένηται,
Ἡ τῶν σητοκόπων βυβλαρίων τὰ κάτω.
Ὄντως μυρμήκων τρυπήματα λοξὰ καὶ ὀρθὰ,
Γράμματα τῶν λυρικῶν λύδια καὶ φρύγια.
Πλὴν ἀφόβως πύκτευε· καὶ ἢν τρωθῇς γὰρ ἄνωθεν,
Ταῦθ' ὅσ' ἔχεις, ἕξεις· πλείονα δ' οὐ δύνασαι.

Τοῦ αὐτοῦ.

Γύκλης ὢν κατέλυσε κλεόμβροτος εἶτα γαμήσας,
Ἔνδον ἔχῃ πλήθων ἴσθμια καὶ νέμεα,
Γραῒ μαχήμῃ τύπτῃ ὁ Ὀλύμπια καὶ πρὸ ἑαυτῷ
Μᾶλλον ἰδεῖν φείσων ἢ ποτὲ τὸ σάδιον.
Ἀνὴρ δ' ἀναπνύσῃ, δέρεται ζαῖς πρώτοις ἀγῶσι
Γληναῖς, ὡς ἀποδῷ· καὶν ἀποδῷ, δέρεται.

ΝΙΚΑΡΧΟΥ.

Γέντε μετ' ἀνέων χθαμὸς ὢν ἀρκαδίᾳ δολιχεύων,
Θῦμα μόνος, ἀλλ' ὄντως ἕβδομος ἐξέπεσεν.
Ἐξ ὄντων, ζαχύ' ἐρῇς, πῶς ἕβδομος; εἷς φίλος αὐτοῦ,
Θαρσῶν χθαμαί, λέγων, ἦλθεν ὑπ' ἱματίῳ.
Ἕβδομος οὖν οὕτω προσεγίνετο. εἰ δ' ἔτι πέντε
Εἶχε φίλους, ἦλθ' ἂν ζωΐλος, δωδέκατος.

ΛΟΥΚΙΛΛΙΟΥ.

Τὸν σαδίλλῳ θρέψαν ἐρασίστρατον ἡ μεγάλη γῆ,
Πάντων σφόμβων, ὃν κ' ἐσάλθυσε μόνον.

Τοῦ αὐτοῦ.

Ὃν ὔτε πάχων ἐμόησε τις ὑπ' ἀντιπάλοισιν ἐπιπλέν,
Οὔτε βραδὺν ὅλως ἔδραμε τὸ σάδιον.
Δίσκῳ μὲν γὰρ ὅλως οὐδὲ ἤλασα, ζωὶς δὲ πόδας μου
Ἔξαρας πηδῶν ἴχνον ὀδὲ ποτε.
Κυλλὸς δ' ἠκόντιζεν ἀμείνονα· πέντε δ' ἀπ' ἄθλων
Πρῶτος ἐκηρύχθην πεντετηριάδος.

Τοῦ αὐτοῦ.

Νύκλα μέσην ἐποίησε βέχων ποτὲ μύρμηξ ὁπλίτης,
Ὥστ' ἀποκλαθῶν πρώτοθ' τὸ σάδιον.
Οἱ γὰρ δημόσιοι κεῖσθαί τινα πρώτους ἔδοξαν
Ὁπλίτην τιμῆς εἵνεκα τῶν λιθίνων.
Καὶ τί γάρ; εἰς ὥρας ἰωόλγετο, καὶ τότε μύρμηξ
Ἦλθε, τὸ στελλείπων τῷ σαδίῳ δίπλεθρον.

Ἄδηλον.

Τὸ σάδιον τὸ Ἰκλῆς εἴτ' ἔδραμον, εἴτ' ἐκάθητο,
Οὐδεὶς οἶδεν ὅλως· δαιμόνιος βραδυτής.

Ο ψόφος ἦν ὕσπληγγος ἐν οὔασι, καὶ στεφανοῦται
Αλλος, καὶ περικλῆς δάκτυλον οὐ προέβη.

ΛΟΥΚΙΛΛΙΟΥ.

Τῷ πίσσῃς μεδέοντι τὸ κρανίον αὖλος ὁ πύκτης,
Εν καθ' ἓν ἀθροίσας ὀστέον, ἀντίθεται.
Σωθεὶς δ' ἐκ νεμέας, ζεῦ δέσποτα, σοὶ τάχα θήσει
Καὶ τοὺς ἀστραγάλους τοὺς ἔτι λειπομένους.

Τοῦ αὐτοῦ.

Εἰς ἱερόν ποτ' ἀγῶνα μίλων μόνος ἦλθ' ὁ παλαιστὴς,
Τὸν δ' εὐθὺς στεφανοῦν ἀθλοθέτης ἐκάλει.
Προσβαίνων δ' ὤλισθεν ἐπ' ἰσχίον. οἱ δ' ἐβόησαν
Τοῦτον μὴ στεφανοῦν, εἰ μόνος ὢν ἔπεσεν.
Ανστὰς δ' ἐν μέσσοισιν ἀνέκραγεν, οὐχὶ τρί' ἐστίν;
Εν κεῖμαι, λοιπὸν τἄλλα μέ τις βαλέτω.

ΛΟΥΚΙΑΝΟΥ.

Εἰ ταχὺς εἰς τὸ φαγεῖν καὶ πρὸς δρόμον ἀμβλὺς ὑπάρ
Τοῖς ποσί σου τρῶγε, καὶ τρέχε ᾧ στόματι. (χεις,

Τοῦ αὐτοῦ.

Οἱ συναγωνισταὶ τὸν πυγμάχον ἐνθάδ' ἔθηκαν
Απιν· οὐδένα γὰρ πώποτ' ἐτραυμάτισεν.

Τοῦ αὐτοῦ.

Πᾶσαν ὅσην ἕλληνες ἀγωνοθετοῦσιν ἅμιλλαν
Πυγμῆς, ἀνδρόλεως πᾶσαν ἀγωνισάμην.
Εσχον δ' ἐν πίσσῃ μὲν, ἓν ὠτίον· ἐν δὲ πλαταιαῖς,
Εν βλέφαρον· πυθοῖ δ', ἄπνοος ἐκφέρομαι.
Δαμοτέλης δ' ὁ πατὴρ ἐκορύσσετο σὺν πολιήταις
Αραί μ' ἐκ σταδίων ἢ νεκρὸν ἢ κολοβόν.

ΕΙΣ ΑΔΥΝΑΤΟΝ,

κεζ' βζ

ΛΟΥΚΙΑΝΟΥ.

Εἰς τί μάτην νίπτεις δέμας ἰνδικόν; ἴσχεο τέχνης,
Οὐ δύνασαι δνοφερὴν νύκτα καθηλιάσαι.

ΕΙΣ ΑΝΟΗΤΟΥΣ, κξ̄ ζ̄

ΑΝΤΙΟΧΟΥ Εἰς ἀπαίδευτον ὀπισθόξαμψον.

Βήσας, εἰ φρένας εἶχεν, ἀπηχέτο νωθὴς ὑπ' αἰσχος,
Καὶ ξῆ καὶ πλουτῆ, καὶ μὴ τίω πάροδον.

Ἄδηλον.

Ἐν πᾶσιν μεθύουσιν ἀκίνδυνος ἤθελε νήφειν,
Τοιὼ ἕνεκα καὶ μεθύειν αὐτὸς ἔδοξε μόνος.

Ἄδηλον.

Ἔσβεσε τὸν λύχνον μῶρος φυλάσσων ἀπὸ πολλῶν
Δακνόμενος, λέξας, Οὐκ ἔτι με βλέπετε.

ΠΑΛΛΑΔΑ.

Πάντες μὲν δηλοὶ καὶ ἀλαζόνες εἰσὶ, καὶ εἴτι
Ἐν βροτοῖς αἰσχρὸν δῆλον πέφυκε πάθος.
Ἀλλ' ὁ λογισμὸν ἔχων τῷ πλησίον οὐκ ἀναφαίνει,
Ἐνδυνὰ ἀποκρύπτων τὴν σεσυρὸν ὃ πάθος.
Σῆς δὲ θύρας ψυχῆς ἀνεπέπαται, οὐδένα λήθεις
Οὔτε καταπίνων, οὔτε φρασσόμενος.

ΑΒΒΙΑΝΟΥ.

Κύλλος, καὶ λοβέρος, δύο θεσπέσιοι ἐρασταὶ
Κύλλος δ' οὐ τούτων ἐρασιμώτερος.

Ἄδηλον.

Ἦν ἐσίδῃς κεφαλὴν μαδαρὴν καὶ τέρενα καὶ ὦμους,
Μηδὲν ἐρωτήσῃς, μῶρε, ὁρᾷς φαλακρόν.

ΕΙΣ ΑΡΠΑΓΑΣ, κξ̄ ζ̄

ΑΥΤΟΜΕΔΟΝΤΟΣ.

[α]Δέξαι φοίβε τὸ δεῖπνον ὅ σοι φέρω. [β]ἰὼ τίς ἐάσῃ,
Δέξομαι. [α]εἶτα φοβῇ καὶ σύ γε λῃστοίδη;
[β]Οὐδένα τῶν δηρῶν πλὴν ἀρίστιον. οὗτος ἔχει δὲ
Ἁρπαγος ἰκλίνου χεῖρα κρατερωτέρην.
Ἀκρίσιον βωμοῖο νεωκόρος ἰὼ τελέσῃ δὲ
Τὴν πομπὴν, ἄρας ὤχεθ' ἅπερ τὰ πάλιν.

Εν δὶς ἀμβροσίη πολλὴ χάεις. εἷς γὰρ ἀν' ὑμέων
Ἡμίων, εἰ λιμοῦ καὶ θεὸς ἦ ἀθάνετο.

ΕΙΣ ΑΣΕΛΓΕΙΣ, ΧΕΖ ΕΖ

ΛΟΥΚΙΛΛΙΟΥ.

Τὸν φιλόπαιδα κράτιππον ἀκούσαλε· θαῦμα γὰρ ὑ-
Κ αμὸν ἀπαγγέλλω. πλὴν μεγάλαν νεμέσης. (μῖν
Τὸν φιλόπαιδα κράτιππον ἀν' ὕδρεμμι δήιο γλῶς. Ἰί;
Τ ὼν ἑτερο ζήλων. ἤλπισα τῦτ' ἀν' ἐγώ,
Ἤλπισα τῦτο κράτιππε; μεμνήσομαι, εἰ λύκος εἶ)
Π ᾶσι λέγων, ἐφάνης ἀξαπίνης ἔριφος.

Αδηλον.

Α νέρας ἠρνήσαντο, καὶ οὐκ ἐθέλοντο γυναῖκες·
Ο ὕτ' αἴδρες γεγάασιν, ἐπεὶ πάθον ἔργα γυναικῶν·
Ο ὐδὲ γυναῖκες ἔασιν, ἐπεὶ φύσιν ἔλαχον ἀνδρῶν·
Α νέρες εἰσὶ γυναιξὶ, καὶ ἀνδράσιν εἰσὶ γυναῖκες.

ΑΝΤΙΓΑΤΡΟΥ.

Ε σηκὸς ὃ κίμωνος ἰδὼν πέος εἶφ' ὁ τορίππος,
Ο ἴμοι, ὡς ὀνίνησι λείπομαι ἀθάνατος.

ΣΤΡΑΤΩΝΟΣ.

Η κλίνη πάρνοπας ἔχει δύο καὶ δύο δρῶνοπας·
Ο ἷς σὺ δοκεῖς πόλυπους τέσσαρας· εἰσὶ γὰρ ἕξ.
Η ν δὲ πύθῃ πῶς τῦτο, τὸν ὃν μέσῳ δὶς ἀρίθμει,
Κοινὰ τοῖς ἀμφοτέροις ἔργα καλυόμενον.

Αδηλον.

Ε ἰρήνη πολίτεσιν, ὀπίσχοπος εἶπεν ἐπελθών.
Π ῶς δύναται πᾶσιν, ὦ μόνος ἔνδον ἔχει;

Αδηλον.

Φ ύγων τὴν ὀδύνην Ἀπόλλοφάνης ἐγάμησεν,
Κ αὶ δι' ὃ τῆς ἀγορᾶς νυμφίος ἦλθε μέσης,
Α ὔριον οὔθ' λέγων ἔξω τέκνον εἶπα τοῖς ἦλθεν
Α ὔριον ἀντὶ τέκνου τὴν ὀδύνην ἔχων.

Αδηλον.

Α λφεϊὸς σῶμα φοῦγε· φιλοξείνοις ἁλέθουσης,
Π ρίωνος ἐμπίπλων ἁλμυρὴν ἐς πέλαγος.

Ἄδηλον.

Οὐχ ὅτι τὸν κάλαμον λείχεις, ἀφ' τοῦτό σε μισῶ,
Ἀλλ' ὅτι τοῦτο ποιεῖς καὶ δίχα τοῦ καλάμου.

Ἄδηλον.

Χείλων, καὶ λείχων, ἴσα γράμματα· ἐς τί δὲ τοῦτο;
Λείχει γὰρ χείλων κἂν ἴσα, κἂν ἀνίσα.

Ἄδηλον.

Υἱὸς πατεικὼς μάλα κόσμος, ὃς ἀφ' κόπρην
Οὐχ ὁσίλω ἑπάρσις πώπας ἀποστρέφεται.

Ἄδηλον.

Ἂν μετ' Ἀλεξάνδρειαν εἰς αὐτόχειαν ἀπέλθῃς,
Καὶ μὴ τὸν σὸν εἴλων ἐπὶ λίνης ἐπιδῇς,
Τὸν δωματῶν σοὶ εἰς σε γαμήσει. τοῦτο γὰρ ἀεὶ
Ὁ Ἰουδαῖος, πεδ' ἄρας εἰς πόλιν ἐκ πόλεως.

ΕΙΣ ΑΣΤΡΟΛΟΓΟΥΣ,

ΛΟΥΚΙΑΝΟΥ.

Τῷ παρ' ἐμοὶ τ' ἀδελφὸν οἱ ἀστρολόγοι μακρόχρων
Πάντες ἐμαντεύσαντ' ὡς ἀφ' ἑνὸς στόματος·
Ἀλλ' ἑρμοκλείδης αὐτὸν μόνος εἶπε θεοῖσιν,
Εἶπε δ' ὅτ' αὐτὸν ἔσω νεκρὸν ἐκπέμψομεν.

Τοῦ αὐτοῦ.

Γ' ἄντες ὅσοι τὸν βίον καὶ τὸν χρόνον ὡροσκοποῦσιν,
Ἀξιοί εἰσι τυχεῖν πάντες ἑνὸς τυφλοῦ.
Ὀφθαλμοὺς οὐ μακρὰν αὐλοῦ τυχὸν εἰδότας ὄντως
Καὶ τί ποιεῖ Ζεὺς καὶ τί λέων δυνάται.

Τοῦ αὐτοῦ.

Εἶπεν ἐληλυθέναι δ' πεπρωμένον, αὐτὸς ἑαυτοῦ
Τὸν θάνατον μαθεῖν, αὐλὸς ὁ ἀστρολόγος·
Καὶ ζήσειν ὥρας ἔτι τέσσαρας· ὡς δὲ παρῆλθεν
Ἡ πέμπτη, καὶ ζῆν εἰδότα μηδὲν ἔδει,
Ἀχμωθεὶς πέτοισιν, ἀπήγξατο· καὶ μετέωρος
Θνήσκει μὲν, θνήσκει δ' οὐδὲν ὑπισάμενος.

Τοῦ αὐτοῦ.

Π ρὸς τὸν μώμητὸν ὄλυμπον ὀνήσιμος ἦλθεν ὁ πύκλης,
Ε ἰ μὴ γηραῖν βουλόμενος τοῦτο μαθεῖν.
Κ ἀκεῖνος, ναί, φησὶν, ἐὰν ἤδη καταλύσῃς·
Α ν δέ γε πυκλιβὴς, ὡρισθήσεταί σε χρόνος.

ΝΙΚΑΡΧΟΥ.

Ε ἰς ῥόδον εἰ πλεύσοι, τὶς ὀλυμπικὸν ἦλθεν ἐρωτῶν
Τ ὸν μώμητιν, καὶ πῶς πλεύσεται ἀσφαλέως.
Χ ὠ μάντις, τοῦτον μὴ, ἔφη, κενεὸν ἔχε τὸν νεῶν,
Κ αὶ μὴ χειμῶνος, τῦ δὲ θέρεις ἀνάγου.
Τ οῦτο γὰρ ἂν ποιῇς, ἥξεις κἀκεῖσε κἀκεῖθεν,
Α ν μὴ πειρατὴς ὢν πελάγη σε λάβῃ.

ΛΟΥΚΙΛΛΙΟΥ.

Γ ρὸς τ' μώμητιν ὄλυμπον ὀνήσιμος ἦλθ' ὁ παλαιστὴς,
Κ αὶ πένταθλος ὕλας, καὶ σαδιοδρόμος ἐκλῆς,
Τ ὶς μὴ νικᾶν αὐτῷ τὸν ἀγῶνα, θέλοντες
Γ νῶναι. κἀκεῖνος τοῖς ἱεροῖς ἐνιδών,
Π αῖτες, ἔφη, νικᾶτε, μόνον μήτις σε προσέλθῃ,
Κ αὶ σὲ καταστρέψῃ, καὶ σὲ πρὸ θεῶν χαλάσῃ.

ΓΑΛΛΑΔΑ.

Ε ἰπὲ πόθεν σὺ μετρεῖς κόσμον καὶ πείρατα γαίης,
Ε ξ ὀλίγης γαίης σῶμα φέρων ὀλίγον.
Σ αυτὸν ἀρίθμησον τοσοῦτόν, καὶ γνῶθι σεαυτὸν,
Κ αὶ τότ' ἀριθμήσῃς γαῖαν ἀπειρεσίην.
Ε ἰ δ' ὀλίγον πλὴν τοῦ σώματος οὐ καταλείπεις,
Π ῶς δύνασαι γνῶναι τῶν ἀμέτρεων τὰ μέτρα;

Ἀδήλου.

Α νίκητός τις ἤδη τὰ σφαιρικὰ μᾶλλον ἀράτου
Γ ραμμῇ, τίνι δὴ ἰδίῳ σὺν νόῳ γράφεται.
Δ ισσάζειν γὰρ ἔφη πότερ' ἐν κριῷ γεγράπται,
Η διδύμοις, ἢ τοῖς ἰχθύσιν ἀμφοτέροις.
Ε ὕρηται δὲ σαφῶς ἐν τοῖς τεισί. καὶ γὰρ ὀχευτὴς,
Κ αὶ μωρὸς, μαλακός τ' ἐστὶ, καὶ ὀψοφάγος.

Ἀδηλον.

Κ ἀηδὼν ἀηδὼν ὀξυτέρη ὅτε σοφὸν ἔμβαλε μάθημα,
Οἷον ἀριστοφάνους ἦλθεν ἐς ἀστρολόγου,
Ἡ τε δὴ ἐξερεείνων εἰ θέρος ἄμπνοον αὖτως
Ἔσται, καὶ σταχύων ἄφθονος βότρυς.
Ὅς ὁ λαβὼν ψηφῖδας, ὑπὸ πίνακός τε πυκάζων,
Δακτύλῳ τε γραμμαῖον, φθέγξατο καλλιγλώσσῳ,
Εἴσω ἐπομβρηθῇ ὁ ἀρούειον ὅσον ἀπόχρη,
Μηδὲ τὶν ὑλάκτῳ τέξεται αἰθοσυίλῳ,
Μηδὲ πάγος ῥήξῃ τινὰ αὔλακα, μηδὲ χαλάζῃ
Ἄκρον ἀποδρύφθῃ δράγματος ὀρνυμένου,
Μηδὲ νεβρὸν κείρωσι τὰ λήϊα, μηδέ τιν' ἀηδὼν
Ἥερος ἢ γάμης ὄψεται ἀμπλακίαν,
Ἐθλόν σοι ὁ θέρος μαντεύομαι, οὐδ' ἀποκόψῃς
Τοὺς στάχυας· μοιρῶν δείδιθι τὰς ἀκρίδας.

ΕΙΣ ΒΡΑΧΕΙΣ, κξ' ζ'

ΤΙΜΩΝΟΣ εἰς κλεανθῆ.

Τίς δ' οὗτος, κλίλος ὡς, ὑπιπωλῆται στίχας ἀνδρῶν;
Μωλύτης, ἐπέων φίλος, ἄσιος, ὅλμος ἀτόλμος.

ΙΟΥΛΙΑΝΟΥ ἀντικίνσωρος.

Ἀσφηλέως οἴκησον ἐν ἄστει, μή σε κολάψῃ
Αἷμα τὶ πυγμαίων ἡδομένην γῆρανς.

ΛΟΥΚΙΛΛΙΟΥ.

Ἀγὴν μιλτοφαὴς ὠνήσατο, καὶ μέλι λιμὸν
Ἐκ δρυὸς ἀλλοτείας αὐτὸν ἀπηλόνισεν.
Γιὼ δ' αὖτως τεθνεῶτι βοὴν οὐκ ἔσχον ἀῶσθεν,
Ἀλλ' ἐτάφη μαθοδοσεὺς τὶνα τῶν ὁμόρων.
Εἰ δ' ἔγνω τὸν ἀγρὸν τὸν μιλτοφαὴς ὑπάκουσεν,
Πάντα γέμειν ἀγρὸν εἶπεν ἄν, οὐκ ἀτόμων.

Ἀδηλον.

Ὁ βραχὺς ἑρμογλύφης, ὅταν σκάλῃ εἰς ὃ χαμαί τι,
Ἕλκει τοὺς τὰ κάτω τοῦτο δρυδρεπόφω.

ΕΙΣ ΒΑΛΑΝΕΙΟΝ ΨΥΧΡΟΝ, κετ' ητ

ΝΙΚΑΡΧΟΥ.

Λούσασθαι πεπόρευται ὀνήσιμος εἰς βαλανεῖον
Δωδεκάτῃ δύστρου μηνὸς, ἐπ' ἀντιφίλου,
Παῖδα λιπὼν οἴκοις ἐπιτίτθιον, ὃν δύο τέκνων
Αλλων εὑρήσει λουσάμενος, πατέρα.
Ηξεῖν δ' εἰς ὥρας ἡμῖν γράφει· οἱ βαλανεῖς γὰρ
Εἰς τότε τάσσονται τὴν πυρίαν καθελεῖν.

ΕΙΣ ΓΡΑΙΑΣ, κετ' θτ

ΜΥΡΙΝΟΥ.

Υτετρακόσι' ἐστὶν· ἔχεις δὲ σὺ τοὺς ἐνιαυτοὺς
Δὶς τόσσους τρυφερὴ πεντακόρων' ἑκάβη.
Σισύφου ὦ μάμμη καὶ δεῦκα λίωνος ἀδελφή.
Βάπτε δὲ τὰς λευκὰς, καὶ λέγε πᾶσι τατᾶ.

ΛΟΥΚΙΛΛΙΟΥ.

Τὰς τρίχας, ὦ νίκυλλα, τινὲς βάπτειν σε λέγουσιν,
Ας σὺ μελαινοτάτας ἐξ ἀγορᾶς ἐπρίω.

Τοῦ αὐτοῦ.

Τὰς πολιὰς βάψασα θεμιστονόη τρικόρωνος,
Γίγνεται ἐξαπίνης οὐ νέα, ἀλλὰ ῥέα.

ΛΕΩΝΙΔΟΥ.

Γρῆϋν ἔγημε φιλῖνος, ὅτ' ἦν νέος· ἡνίκα πρέσβις,
Δωδεκέτιν· παφίη δ' ὥριος οὐδέποτε·
Καὶ γὰρ ἄπαις διέμεινε τότε σπείρων ἐς ἄκαρπα·
Νῦν δ' ἑτέροις γήμας, ἀμφοτέρων στέρεται.

ΝΙΚΑΡΧΟΥ.

Η πολιὴ κροτάφοισι κοτυτταρὶς, ἡ πολύμυθος
Γραῖα, δι' ἦν νέστωρ οὐκ ἔτι πρεσβύτατος,
Η φάος ἀθρήσασ' ἐλάφου πλέον, ἡ χερὶ λαιῇ
Γῆρας ἀριθμεῖσθαι δεύτερον ἀρξαμένη,
Ζώει καὶ λεύσσουσα καὶ ἀρτίπος, οἷά τε νύμφη,
Ωστέ με διστάζειν μήτι πέπονθ' ἀΐδης.

Τοῦ αὐτοῦ.

Τὴν δικαφον γραῖαν ὀνήσιμε πρὸς δίος ἔξω
Ἐκβαλε· πολλὰ λίτω πρόγματά μοι παρέχει.
Ἦν αὐτὴ τυρεύσ, ἁ παλαιὸς εἰπωμὴν ἐνέσχαι,
Οὐ τυρεύσ, πυρεύσ δ' ἔρχετ' ἔχουσα νέους.
Πρώιον τὴν κεφαλὴν ἐπόνουν, καὶ πήγανον αὐτᾶι
Ἦν τοιῶν· ἡ δ' ἔφερεν τήγανον ὀστράκινον.
Ἦν ὀπὸν αἰτήσω, δοκὴν εἰσφέρει· ἂν λάχανόν μοι,
Εἶπω, δός, πεινῶν, βοῦν φέρει λάσανον.
Ὄξος ἂν αἰτήσω, τόξον φέρει· ἂν δέ γε τόξον,
Ὄξος. ὅλως δ' ὃ λέγω, ὅπποτ' ἐπαμαθάνεται.
Ἀ ἰατρὸν τᾶς γραὸς με χρὴν κήρυκα γενέσθαι,
Καὶ μυελᾶν ἔξω, νυκτὸς ἐγερθέμεν.

ΛΟΥΚΙΛΛΙΟΥ.

Λύεσθαί σε λέγουσι πολιὸν χρόνον ἠλιοδώρα,
Γραῖαν ἐτῶν ἑκατὸν μὴ καταλυομένων.
Γ' λιὸν ἔγνωκα τίνος ποιᾶς χάριν· ὡς ὁ παλαιὸς
Ἐλπίδας πελίας ἐψομένην νεάσαι.

ΜΑΚΕΔΟΝΙΟΥ.

Τῷ ψιμύθῳ μὴ ἀεὶ λιποχρὼς τεῖνε πρόσωπον
Λαοδίκη, λαοῖς ἔνδικα τίννυμένη·
Μήποτε δ' ὠρίωνος στόμα χείλεα· τᾶς γὰρ ὀδόντων
Ὄργατον ἐμπήξει φαρμακόεντι δόλῳ;
Τὴν χάριν ἐξερύσασα, ὅσην ἔχες· οὐκ ἀπὸ γαίας
Ἀγλαΐη μελέων ἔλκεται ἀενάου.
Ὡς ὀδὸν ἀληθεύσεις ὀνείαρι νῦν δ' ἐμβαίνῃς,
Γήραος αὐχμηρῷ καρφομένη θέρεϊ.

ΛΟΥΚΙΛΛΙΟΥ.

Τὴν κεφαλὴν βάπτῃς, γῆρας δὲ σὸν οὔποτε βάψῃς,
Οὐδὲ πρὸ φάων ῥυτίδας ἐκλανύσῃς.
Μὴ τοίνυν τὸ πρόσωπον ἀπ' ψιμύθῳ καπάτλατε,
Ὥστε τὸ σῶμα πεῖον, καὶ τὸ πρόσωπον ἔχειν.
Οὐδὲν γὰρ πλέον ἔστι. τί μαίνεαι; ὅππότε φῦκος
Καὶ ψίμυθος τεύξῃ τὴν ἑκάστου ἐλένην.

ΓΑΙΤΟΥΛΙΟΥ.

Τετράκις ἀμφορέως περὶ χείλεσι χείλεα θεῖσα
Σειληνὶς πάσας ἐξεφόρησε τρύγας.
Εὐχαίτα διόνυσε, σὲ δ' ὕδασιν οὐκ ἐμίηνεν,
Ἀλλ' οἶος πρώτης ἦλθες ἀπ' οἰνοπέδης,
Τοῖόν σε προὔπινεν ἀφειδὲς ἐς ἄγγος ἔχουσα,
Εἰσότε καὶ νεκύων ἦλθ' ἐπὶ συμμορίην.

Ἀδηλον.

Τὴν γραῦν ἐκκομίσας, φρονίμως πάνυ μόσχος ἔγημε
Παρθένον· ἡ φερνὴ δ' ἔνδον ἔμεινεν ὅλη.
Ἄξιον αἰνῆσαι μόσχου φρένας, ὃς μόνος οἶδε
Καὶ τίνα δεῖ κινεῖν, καὶ τίνα κληρονομεῖν.

Ἀδηλον.

Ἤκμασε νικονόη. κἀγὼ λέγω· ἤκμασε δ' αὐτὴ
Ἡ νίκα δευκαλίων ἄπλετον εἶδεν ὕδωρ.
Ταῦτα μὲν οὖν ἡμεῖς οὐκ οἴδαμεν, ἀλλ' ὅτι ταύτην
Οὐκ ἄνδρα ζητεῖν νῦν ἔδει, ἀλλὰ τάφον.

Ἀδηλον.

Ἀλλὴν δρυῶ βαλάνιζε μενέσθιον· οὐ γὰρ ἔγωγε
Ἐκκαιρον μήλων προσδέχομαι ῥυτίδα·
Ἀλλ' αἰεὶ πεπόθηκα σῦνακ μάζουσαν ὀπώρην.
Ὥστε τί πειράζεις λευκὸν ἰδεῖν κόρακα;

Ἀδηλον.

Γινώσκειν σὲ θέλω πλακιανὲ σαφῶς, ὅτι πᾶσα
Ἔγχαλκος γραῖα, πλουσία ἐστὶ σορός.

ΝΙΚΙΟΥ.

Τὴν κεφαλὴν βάπτων τις, ἀπώλεσε τὰς τρίχας αὐτὰς,
Καὶ δασὺς ὢν λίαν, ὠὸν ἅπας γέγονεν.
Τοῦτο βαφεὺς ἐβόησε, τὸ μηκέτι κουρέα τέμνειν
Μήτε κόμην λευκὴν, μήτε μελαινομένην.

ΕΙΣ ΓΡΑΜΜΑΤΙΚΟΥΣ, κεστὶ τῆς

ΛΟΥΚΙΛΛΙΟΥ.

Ἀντοῦ γραμματικοῦ μνησθῶ μόνον ἡλιοδώρου,
Εὐθὺ σολοικίζον τὸ στόμα μου δέδεται.

Τοῦ αὐτοῦ εἰς γραμματικὸν
κερασφόρον.

Οὐδεὶς γραμματικῶν δύναταί ποτε ἄρτιος εἶναι,
Ὀργὴν καὶ μῆνιν καὶ χόλον εὐθὺς ἔχων.

ΦΙΛΙΠΠΟΥ.

Γραμματικοὶ, μώμου στυγίου τέκνα, σῆτες ἁπάντων,
Τελχῖνες βίβλων, ζηνοδότου σκύλακες,
Καλλιμάχου στρατιῶται, ὃν ὡς ὅπλον ἐκτανύσαντες,
Οὐδ' αὐτοῦ κείνου γλῶσσαν ἀποστρέφετε·
Συνδέσμων λυγρῶν θηρήτορες, οἷς τὸ μὲν ἢ σφὶν
Εὔαδε, καὶ ζητεῖν εἰ κύνας εἶχε κύκλωψ·
Τρίβοισθ' εἰς αἰῶνα, κατατρίζοντες ἀλιτροὶ
Ἄλλων· ἐς δ' ἡμᾶς ἰὸν ἀποσβέσατε.

ΑΝΤΙΦΑΝΟΥΣ.

Γραμματικῶν περίεργα γένη, ῥιζώρυχα μούσης
Ἀλλοτρίης, ἀτυχεῖς σῆτες ἀκανθοβάται,
Τῶν μεγάλων κηλῖδες, ἐπ' ἠρίννῃ δὲ κομῶντες,
Πικροὶ καὶ ξηροὶ καλλιμάχου πρόκυνες,
Ποιητῶν λῶβαι, παισὶ σκότος ἀρχομένοισι,
Ἐῤῥοιτ' εὐφώνων λαθροδάκναι κόριες.

ΓΑΛΛΑΔΑ.

Οὐ δύναμαι γαμετῆς καὶ γραμματικῆς ἀνέχεσθαι,
Γραμματικῆς ἀπόρου, καὶ γαμετῆς μαχίμου.
Ἀμφοτέρων τὰ πάθη, θάνατος καὶ μοῖρα τέτυκται.
Τὴν οὖν γραμματικὴν καὶ μόλις ἐξέφυγον·
Οὐ δύναμαι δ' ἀλόχου τῆς ἀνδρομάχης ἀναχωρεῖν·
Εἴργει χάρτης γὰρ καὶ νόμος αὐσόνιος.

ΑΠΟΛΛΙΝΑΡΙΟΥ.

Γραμματικός ποτ' ὄνῳ ἐποχούμενος, ἐξεκυλίσθη,
Καὶ τῆς γραμματικῆς (ὡς λόγος) ἐξέπεσεν·
Εἶθ' ἑξῆς ἐβίου κοινὸν βίον, ὡς ἰδιώτης,
Ὧν ἐδίδασκεν ἀεὶ, μηδὲν ἐπιστάμενος.
Ἀλλὰ γλύκων ἔπαθεν τοὐναντίον· ὢν γὰρ ἄπειρος
Καὶ κοινῆς γλώττης, οὐχ ὅτι γραμματικῆς,

Νῦν λιβυκοὺς κενθῶνας ὀχούμενος, εἶτ' ἀποπίπτων
Πολλάκις, ἐξαίφνης γραμματικὸς γέγονεν.

ΛΟΥΚΙΛΛΙΟΥ.

Ἔξω παιδεύεις πάριδος κακὰ καὶ μενελάου,
Ἔνδον ἔχων πολλοὺς σῆς ἑλένης πάριδας.

ΛΟΥΚΙΑΝΟΥ.

Ἴλαθι γραμματικὴ φυσίζοε, ἵλαθι μοῦσα,
Φάρμακον εὑρομένη μῆνιν ἄειδε θεά.
Νηὸν ἐγχρῆν καὶ οἱ περικαλλέα δωμήσασθαι,
Καὶ βωμὸν θυέων μήποτε δευόμενον.
Καὶ γὰρ σοῦ μεσταὶ μὲν ὁδοὶ, μεστὴ δὲ θάλασσα,
Καὶ λιμένες· πάντων δέκτρια γραμματική.

Ἄδηλον.

Τούτοις τοῖς παρὰ δεῖπνον ἀοιδομάχοις λογολέσχαις,
Ταῖς ἀπ' ἀριστάρχου γραμματολικριφίσιν,
Οἷς οὐ σκῶμμα λέγειν, οὐ πὶν φίλον, ἀλλ' ἀνάκεινται
Νηπυτιευόμενοι νέστορι καὶ πριάμῳ,
Μή με βάλῃς κατὰ λέξιν ἕλωρ καὶ κύρμα γενέσθαι.
Σήμερον οὐ δείπνων μῆνιν ἄειδε θεά.

Ἄδηλον.

Γραμματικὸς ζηνῶν, ὃς ἔχει πώγωνα μένανδρον,
Τὸν δ' υἱὸν τούτῳ φησὶ συνεστακέναι,
Τὰς νύκτας δ' αὐτῇ μελέτῃ οὐ παύεται οὕτως,
Πτώσεις, συνδέσμους, σχήματα, συζυγίας.

Ἀδέσποτον.

Χαίροιθ' οἱ περὶ κόσμον ἀεὶ πεπλανηκότες ὄμμα,
Οἵτ' ἀπ' ἀριστάρχου σῆτες ἀκανθολόγοι.
Ποῖ γὰρ ἐμοῖ ζητεῖν τίνας ἔδραμεν ἥλιος οἴμους;
Καὶ τίνος ἦν προστεύς, καὶ τίς ὁ πυγμαλίων;
Γινώσκοιμ' ὅσα λευκὸν ἔχει στίχον· ἡ δὲ μέλαινα
Ἱστορίη τήκοι τοὺς παρακαλλιμάχους.

Ἄδηλον.

Ὠτλῆμον κυνέγειρε καὶ ἐν ζωοῖς καὶ ἀπελθών,
Ὡς αἰεὶ κόπτῃ ῥήμασι καὶ κοπίσιν.

Πρόσθε μὲν ἐν πολέμοισι τεὴ πέσε μέρνα μένη χεὶρ,
Νῦν δέ σ' ὁ γραμματικὸς καὶ ποδὸς ἐστέρισεν.

Αδηλον.

Ην ἄρα καὶ κάνθωσι τύχη χαλεπή τε καὶ ἐσθλὴ,
Καὶ κρόνος ὡρονομεῖ τετραπόδων γένεσιν.
Εξότε γὰρ καὶ τοῦτον ὄνον χαλεπὸς χρόνος ἔσχεν,
Εξ ἀλαβαρχείης, γραμματικοῦ γέγονεν.
Τλῆθι φέρειν λοιπὸν κανθήλια. γραμματικῶς γὰρ
Οὐδὲ τέλος κριθὴ, κρῖ δὲ μόνον λέγεται.

ΕΙΣ ΓΥΝΑΙΚΑΣ, κεῖς ιαῖς

ΠΑΛΛΑΔΑ.

Πᾶσα γυνὴ χόλος ἐστὶν, ἔχει δ' ἀγαθὰς δύω ὥρας,
Τὴν μίαν ἐν θαλάμῳ, τὴν μίαν ἐν θανάτῳ.

ΕΙΣ ΔΕΙΛΟΥΣ, κεῖς ιβῖς

ΛΟΥΚΙΛΛΙΟΥ.

Ανθρακα καὶ δάφνην παραβύεται ὁ στρατιώτης
Αὖλος, ἀποσφίγξας μήλινα λωμάτια.
Φρίσσει καὶ τὸ μάτην ἴδιον ξίφος· ἢν δέ ποτ' εἴπῃς,
Ερχοντ', ἐξαπίνης ὕπτιος ἐκτέταται.
Οὐδενὶ δ', οὐ πολέμωνι προσέρχεται, οὐ στρατοκλείδῃ,
Αλλὰ φίλῳ χρῆται πάντοτε λυσιμάχῳ.

Τοῦ αὐτοῦ.

Γραπτὴν ἐν τοίχῳ καλπούρνιος ὁ στρατιώτης,
Ως ἔθος ἐστὶν, ἰδὼν τὴν ἐπὶ ναυσὶ μάχην,
Ασφυκτος καὶ χλωρὸς ὁ θούριος ἐξετανύσθη,
Ζωγρεῖτε, κράξας, τρῶες ἀρηΐφιλοι.
Καὶ μὴ τέτρωται κατεμάνθανε, καὶ μόλις ἔγνω
Ζῆν· τότε τοῖς τοίχοις ὡμολόγησε λύτρα.

ΕΙΣ ΔΥΣΕΙΔΕΙΣ, κεῖς ιγῖς

ΛΟΥΚΙΛΛΙΟΥ.

Ρύγχος ἔχων τοιοῦτον ὁ λυμπικὲ, μήτ' ἐπὶ κρήνην
Ελθῃς, μήτ' ἐν ὄρει πρός τι διαυγὲς ὕδωρ.

Καὶ σὺ γὰρ, ὡς νάρκισσος, ἰδὼν τὸ πρόσωπον ἐναργὲς,
Τεθνήξῃ, μισῶν σαυτὸν ἕως θανάτου.

Τοῦ αὐτοῦ.

Ρύγχος ἔχουσα βιτῶ τριπιθήκινον, οἷτ' ἰδοῦσαν
Τὴν ἑκάτην αὐτὴν οἴομ' ἀπαγχονίσαι,
Εἰμὶ λέγει σώφρων λουκίλλιε, καὶ μονοκοιτῶ.
Αἰδεῖται γὰρ ἴσως παρθένος εἰμὶ λέγειν.
Ος δὲ λέγει μισεῖν με, κακὸν τοιοῦτο γαμήσας,
Τῆς αὐτῆς σχοίη τέκνα σαοφροσύνης.

Τοῦ αὐτοῦ.

Ηθελε δριμὺς ἄγαν τοπρόσθ' ἱερώνυμος εἶναι·
Νῦν δὲ τὸ δρῖμεν ἔχει, λος δὲ τὸ μῦς γέγονεν.

Αδηλον.

Ηρὶς κάστορός ἐστιν ὅταν σκάπτῃ τι, δίκελλα·
Σάλπιγξ δ' ἀν' ῥέγχῃ· τῇ δὲ τρύγῃ, δρέπανον·
Εν πλοίοις, ἄγκυρα· κατασπείροντι δ' ἄροτρον·
Αγκιστρον ναύταις, ὀψοφάγοις κρεάγρα·
Ναυπηγοῖς, κένδυλα· γεωργοῖς δὲ, πρασόκουρον·
Τέκτοσιν, ἀξίνη· τοῖς δὲ πυλῶσι, κόραξ.
Οὕτως εὐχρήστου σκεύους κάστωρ τετύχηκε,
Ρῖνα φέρων πάσης ἄρμενον ἐργασίας.

ΘΕΟΔΩΡΟΥ.

Ερμοκράτης τῆς ῥινός· ἐπεὶ τὴν ῥῖνα λέγοντες
Ερμοκράτους, μικροῖς μακρὰ χαριζόμεθα.

ΛΕΩΝΙΔΟΥ.

Ιχθὺν ὁ γρυπὸς σοσίπτολις οὐκ ἀγοράζει,
Προῖκα δ' ἔχει πολλὴν ἐξ ἁλὸς εὐβοσίην.
Οὐ λίνον, οὐ κάλαμον προσάγων, τῇ ῥινὶ δὲ προσθεὶς
Αγκιστρον, σύρει πάντα τὰ νηχόμενα.

Τοῦ αὐτοῦ.

Ζηνογένους οἶκος κατεκαίετο, πολλὰ δ' ἐμόχθει,
Εκ θυρίδος ζητῶν αὐτὸν ὑπερχαλάσαι.
Ικρία συμπήξας οὐκ ἔφθανεν, ὀψὲ δ' ἐπιγνοὺς,
Τὴν ῥῖν' ἀντιμάχου κλίμακα θεὶς, ἔφυγεν.

ΑΜΜΩΝΙΔΟΥ.

Αντιπάτραν γυμνὴν εἴτις παρθοισὶν ἔδειξεν,
Εκτοθεν ἂν στηλῶν ἡρακλέους ἔφυγον.

ΛΟΥΚΙΛΛΙΟΥ.

Ψευδὲς ἔσοπτρον ἔχει δημοσθενίς· εἰ γὰρ ἀληθὲς
Εβλεπεν, οὐκ ἂν ὅλως ἤθελεν αὐτὸ βλέπειν.

Αδηλον.

Κερκίδος οὐ χρῄζεις ὁ λογιστικὸς, οὐδὲ μέλει σοι.
Καὶ γὰρ ἀβασκάντως ῥῖνα τρίπηχυν ἔχεις.

ΑΜΜΙΑΝΟΥ.

Οὐ δύναται τῇ χειρὶ πρόκλος τὴν ῥῖν' ἀπομύσσειν,
Τῆς ῥινὸς γὰρ ἔχει τὴν χέρα μικροτέρην.
Οὐδὲ λέγει ζεῦ σῶσον, ἐὰν πταρῇ· οὐ γὰρ ἀκούει
Τῆς ῥινός. πολὺ γὰρ τῆς ἀκοῆς ἀπέχει.

ΓΑΛΛΑΔΑ.

Ο τὴν γυναῖκα τὴν ἄμορφον δυστυχῶν,
Λύχνους ἀνάψας ἑσπέρας, σκότος βλέπει.

Τοῦ αὐτοῦ.

Ηγόρασας πλοκάμους, φῦκος, μέλι, κηρὸν, ὀδόντας·
Τῆς αὐτῆς δαπάνης ὄψον ἂν ἠγόρασας.

ΙΟΥΛΙΑΝΟΥ ἀντικίνσωρος.

Οψιν ἔχεις στρουθῷ πανομοίιον. ἦ ῥά σε κίρκη
Ες πτηνὴν μετέθηκε φύσιν, κυκεῶνα πιόντα.

Τοῦ αὐτοῦ.

Α μητὸς πολύς ἐστι τεὴν κατὰ δάσκιον ὄψιν.
Τῷ σε χρὴ δρεπάνοισι καὶ οὐ ψαλίδεσσι καρῆναι.

ΜΑΚΕΔΟΝΙΟΥ ὑπάτου.

Οὐ λαλέει τὸ κάτοπτρον, ἐγὼ δὲ πάλιν σευ ἐλέγξω
Τὴν νοθοκαλλοσύνην φύκεϊ χριομένην.
Τοῦτο καὶ ἡδυλύρης ποτὲ πίνδαρος αὐτὸς ἐλέγχων,
Εἶπεν ἄριστον ὕδωρ, φύκεος ἐχθρότατον.

ΤΡΑΙΑΝΟΥ βασιλέως.

Αντίον ἠελίου στήσας ῥίνα, καὶ στόμα χάσκων,
Δείξεις τὰς ὥρας πᾶσι παρερχομένοις.

Ἀδήλων.

Ῥήτορα μωῦσῶν ἰδὼν ἐτεθήπεα, ῥυσχελέφαντα,
Χείλεσι τειθαίοις φθόγγον ἱέντα φόνον.

Ἀδήλων.

Τίω φωνιὼ ἐνοπήν σε λέγλν ἐδίδαξεν ὁμῆρος·
Τίω γλῶσσαν δ' ἐν ὁπῇ τίς σ' ἐδίδαξεν ἔχειν;

Ἀδήλων.

Ὤμοσα μυριάκις ὀπιγράμματα μηκέτι ποιῆν·
Πολλῶν γὰρ μωρῶν ἔμφρανε ἔπεα σὰ μέλιν.
Ἀλλ' ὁπόταν κατίδω τὸ παφλάζόνος ὀ ωεῤῥόωπον
Γανταγάθου, ςέξαι τίω νόσον οὐ δυνάμαι.

Ἀδέσποτον.

Κηλίω κηλήτου μὴ φαρμάκου ωεῤῥτέθηκας.
Μή μοι τίω κηλίω· αὐτὸν ἰδεῖν ἐθέλω.

Ἀδήλων.

Ἑρμῆ λύκου θυγάτηρ μεγάλῳ πῦρ ἐλεκλο πιθήκῳ,
Ἣ δ' ἔτεκεν πολλοὺς ἑρμοπιθηκιάδας.
Εἰ δ' ἐλένιω ὁ ζεὺς καὶ κάςορα καὶ πολυδεύκην
Ἐκ λήδης ἔτεκεν, κύκνον ἀμειψάμενος,
Ἑρμιόνη γε χάρας πῦρ ἐδέξατο· ἡ δὲ τάλαινα,
Φεικλῶν δαιμονίων ἔρμαγμα ἔτεκεν.

Ἀδέσποτον.

Οὐδέποτ' εἰς πορθμεῖον ὁ κηλήτης ἐμβαίνῃ,
Μέλλων εἰς ὃ πέραν ἀπιέναι δι' Ἄφαν.
Τῆς κήλης δ' ἐπιδώῃ τὰ φορτία πρῶτα τεθῆκώς,
Καὶ τὸν ὄνον, ἅμα πλὴν σινδόν' ἐπαειράμενος.
Ὥστε μάτην τείτωνες ἐν ὕδασι δόξαν ἔχουσιν,
Εἰ καὶ κηλήτης ταὐτὸ ποιῆν δυνάται.

Ἀδήλων.

Ὁ γρυπὸς νίκων ὀσφραίνεται οἴνου ἄρίστα,
Οὐ δυνάται δ' εἰπεῖν οἷος ἀνὴρ ταχέως.
Ἐν τισὶν ὥραις γὰρ θεινᾶις μόλις ἀναθαίνει αὐτός.

Ἀδήλων.

Τὸ δ' γρυπὸς ῥητῆρος ὁρᾷ τίω ῥῖνα μύωπα.
Αὐτὸς δ' οὐ μακρὰν φαίνεται ἐν ἑτέῃ.

Γλὴν ἥξει. μείνωμεν ὅμως. εἰ γὰρ πολύ, πέντε
Τῆς ῥινὸς σταδίους οἴομαι οὐκ ἀπέχει.
Ἀλλ' αὐτὴ μὲν (ὁρᾷς) προπορεύεται· ἢν δ' ἐπὶ βουνὸν
Ὑψηλὸν στῶμεν, καὐτὸν ἐσοψόμεθα.

ΕΙΣ ΔΥΣΩΔΕΙΣ, κετὰ ιδῖς

ΑΝΤΙΠΑΤΡΟΥ.

Οὐ προσέχω. καίτοι πιστοί τινες. ἀλλὰ μεταξύ,
Πρὸς διὸς, εἴ με φιλεῖς πάμφιλε, μή με φίλει.

ΝΙΚΑΡΧΟΥ.

Εἴ με φιλεῖς, μισεῖς με· καὶ εἰ μισεῖς σύ, φιλεῖς με·
Εἰ δέ με μὴ μισεῖς φίλτατε, μή με φίλει.

ΛΟΥΚΙΑΝΟΥ.

Δαίμονα πολλὰ λαλῶν ὀζόστομος ἐξορκιστὴς
Ἐξέβαλ', οὐχ ὅρκων, ἀλλὰ κόπρων δυνάμει.

Τοῦ αὐτοῦ.

Οὔτε χίμαιρα τοιοῦτον ἔπνει κακὸν ἡ καθ' ὅμηρον,
Οὐκ ἀγέλη ταύρων (ὡς ὁ λόγος) πυρίπνους,
Οὐ λῆμνος σύμπασ', οὐχ ἁρπυιῶν τὰ περισσά,
Οὐδ' ὁ φιλοκτήτου ποὺς ἀποσηπόμενος·
Ὥστέ σε παμψηφεὶ νικᾶν τελέσιλλα χιμαίρας,
Σηπεδόνας, ταύρους, ὄρνεα, λημνιάδας.

Ἄδηλον.

Οὐ μόνον αὐτὴ πνεῖ δημοστρατὶς, ἀλλὰ δι' αὐτῆς
Τοὺς ὀσμησαμένους πνεῖν πεποίηκε τράγου.

Ἄδηλον.

Τὸ στόμα χὠ πρωκτὸς ταυτὸν θεόδωρέ σου ὄζει,
Ὥστε διαγνῶναι τοῖς φυσικοῖς καλὸν ἦν.
Ἠγράψαι σε ἔδει ποῖον στόμα, ποῖος ὁ πρωκτός.
Νῦν δὲ λαλοῦντός σου, κἄμμιγα πρὸς δομένου,
Οὐ δύναμαι γνῶναι πότερον ἔχανεν θεόδωρος,
Ἠβδέσ'. ἔχει γὰρ ἔχει πνεῦμα κάτω καὶ ἄνω.

Ἀδέσποτον.

Τίς σου μεντορίδη προφανῶς οὕτω μετέθηκεν
Τὴν πυγὴν, οὗπερ τὸ στόμ' ἔκειτο προτοῦ;

Β δεῖς γὰρ, κοὐκ ἀναπτὰς· φθόνῃ δ' ὄκ τ' καλαγείων.
Θ αῦμα μ' ἔχει, τὰ κάτω πῶς σε ἄνω γέγονεν.

ΕΙΣ ΔΟΛΙΟΥΣ, κεζ ιεζ

ΛΟΥΚΙΛΛΙΟΥ.

Ε ἴμε φιλῆς, ἔρχω με φίλη, καὶ μή μ' ἀδίκει σύ,
Α ρχίω τῆς βλαπτὴν τὸν φιλέοντα θέμυος.
Π ᾶσι γὰρ ἀνθρώποισιν ἐγὼ πολὺ χρέωστα φανῆναι
Τ ὸν φανερὰν ἔθραν τῆς δολερῆς φιλίης.
Φ ασὶ δὲ καὶ νήεσσιν ἀλιπλανέεσσι χερείους
Τ ὰς ὑφάλους πέτρας τῶν φανερῶν σπιλάδων.

ΑΠΟΛΛΙΝΑΡΙΟΥ.

Α ν μὲν ἀπόντα λέγῃς με κακῶς, οὐδὲν ἀδικεῖς με·
Α ν δὲ πρόντα, καλῶς, ἵνα δὴ κακῶς με λέγαν.

Τοῦ αὐτοῦ.

Μέλλει τίνος πολύκαρπε κενῆς ἀνδάσιτε ταπέζης
Λ ήσῃς, χερματίοις ψευδόμυθ' ἁλλοτρίοις;
Ο ὐ γὰρ ἔτ' εἰν ἀγορῇ σε βλέπω πολιῶ, δηὖ ὑποκάμψ
Η δη, καὶ ζητεῖς ποῦ σε φέρωσι πόδες. (πλῆς
Π ᾶσιν ἐπαγγέλλῃ, κέμισας τὸ σὸν αὖθις, ἔρχου,
Κ αὶ λάβε. κοὐδὲν ὁμόσας, οὐκ ἔτι πίστιν ἔχεις.
Κ υζικηνὸν σὲ φέρων ἄνεμος Θρᾴξι πέλασεν.
Τ οῦτό σε τῶν λοιπῶν τέρμα μολὼν βιότου.

ΕΙΣ ΔΟΥΛΟΥΣ, κεζ ιεζ

Ἀδηλον.

Τ οῦτο τὸ βουλευτὴν εἶχες πάλαι· ἀλλὰ τὸ βῆτα
Ο ὐκ ὀπιγράφω, δέλτα γὰρ ἐγράφεο.

Ἀδηλον.

Β ουλευτὴς ἀγαθὸς νῦν. τὸ βῆτα δὲ τοῦτ' ἐπορίσω νῦν·
Ε ἰπὲ πόσης τιμῆς· δέλτα γὰρ ἐκτὸς ἔσω.

ΕΙΣ ΔΩΡΑ, κεζ ιζζ

ΠΑΛΛΑΔΑ, Εἰς οἶνον φαυλότατον καλέντα αὐτῷ.

Ε ἶπιν ἔχεις Διόνυσον ἐνὶ μεγάροισι τεοῖσι,
Τ ὸν χιοτὸν ἀφυγὼν, θριδακίνῃ φύλλοις σε φάγωσον.

Τοῦ αὐτοῦ, εἴς τινα πέμψαντα αὐτῷ ἰσχάδας.

Βρώματά μοι χοίρων συκιζομένων προέθηκας,
Ξηρῶν, διψαλέων, κυπρόθεν ἐρχομένων.
Αλλ' ἐμὲ συκωθέντα μαθὼν, ἢ σφάξον ἑτοίμως,
Ησβέσον ἐκ δίψης νάματι τῷ κυπρίῳ.

Τοῦ αὐτοῦ.

Αντίσπαστον ἐμοί τις ὄνον μακρόθυμον ἔδωκεν,
Τῶν βασταζομένων ὅρμον ὁδοιπορίης,
Υἱὸν τῆς βραδυτῆτος, ὄνον, πόνον, ὄκνον, ὄνειρον,
Τῶν ἀνακαμπτόντων ὑστάτιον, πρότερον.

Τοῦ αὐτοῦ εἰς τὸ αὐτό.

Τὴν πῆραν, τὴν αὐτὸς ἀποσφίγξας ἀποπέμπεις,
Εὗρεν ὁ παῖς, λύσας φῦσαν ὑπηνέμιον.

Τοῦ αὐτοῦ εἴς τινα πέμψαντα αὐτῷ σιτεύσιμα.

Ασκὸν τῶν ἀνέμων ἔλαβεν ποτὲ δῶρον ὀδυσσεὺς,
Γόντον ἐπιπλώων· χρῆμα γὰρ ἦν τι μέγα.
Αλλ' ἐμὸς αἴολος αὐτὸς, ἔχων ἀνέμων πλέον ἶτρον,
Ορνέον ἐκπέμπει τῶν ἀνέμων γεμίσας.
Γνεύματά μοι πτερόεντα φίλος καὶ πνεύματα πέμπεις·
Οὐ δύναμαι δὲ φαγεῖν θλιβομένους ἀνέμους.

ΕΙΣ ΕΡΩΝΤΑΣ, κεῖται ιηῖ

ΑΡΓΕΝΤΑΡΙΟΥ.

Αντιγόνην ἔστεργε φιλόστρατος· ἦν δὲ παλαισταῖς
Θτλήμων ἱερου πέντε πενιχρότερος,
Εὗρε δ' ὑπὸ κρυμοῦ γλυκὺ φάρμακον. ἀντία γὰρ σχὼν
Γοιώατ' ἐκοιμήθη ξεῖνε μετ' ἀντιγόνης.

ΕΙΣ ΖΩΓΡΑΦΟΥΣ, κεῖται ιθῖ

ΛΕΩΝΙΔΟΥ.

Εἰκόνα μηνοδότου γράψας διόδωρος, ἔθηκε,
Πλὴν τοῦ μηνοδότου πᾶσιν ὁμοιοτάτην.

Τοῦ αὐτοῦ.

Γράψας δεῦ καλίωνα μενέστρατε καὶ φαέθοντα,
Ζητεῖς τίς τούτων ἄξιός ἐστι τίνος.
Τοῖς ἰδίοις αὐτοὺς τιμήσομεν· ἄξιος ὄντως
Ἐστὶ πυρὸς φαέθων, δεῦ καλίων δ' ὕδατος.

ΛΟΥΚΙΛΛΙΟΥ.

Εἴκοσι γεννήσας ὁ ζωγράφος εὐτυχος υἱοὺς,
Οὐδ' ἐπὶ τῶν τέκνων οὐδὲν ὅμοιον ἔχει.

Τοῦ αὐτοῦ.

Ζωγράφε, τὰς μορφὰς κλέπτεις μόνον· οὐ δύνασαι δὲ
Φωνὴν συλῆσαι χρώματι πειθομένην.

ΕΙΣ ΗΓΕΜΟΝΑΣ,

κεζ κζ

ΓΑΛΛΑΔΑ Εἰς δημόνικον ὕπαρχον.

Πολλοὶ πολλὰ λέγουσιν, ὅμως δ' οὐ πάντα δύνανται
Ῥήμασιν ἐξειπεῖν ῥεύματα σῶν παθέων.
Ἐν δ' ἐπὶ σοὶ παράδοξον ἐθαυμάσαμεν καὶ ἄπιστον,
Δάκρυα πῶς κλέπτων εἶχες ἑτοιμότατα.
Χαλκίδος ἐκ γαίης ἀπεχάλκισε τὴν πόλιν ἡμῶν,
Κλέπτων, καὶ κλαίων δάκρυσι κερδαλέοις.

Τοῦ αὐτοῦ Εἰς τὸ αὐτό.

Ἐκ γῆς λωτοφάγων μέγας ὄρχαμος ἦλθε λυκάων,
Χαλκίδος ἐκ γαίης ἀντιοχευόμενος.

Τοῦ αὐτοῦ εἰς τὸ αὐτό.

Θηλυφανὲς παράδοξον ἐθαυμάσαμεν πάθος ἀλλο,
Ἔκλαιε κλέπτων, κλεπτομένους ἐλεῶν·
Ὃς κλέπτων ἥγνευε, καὶ ἁγνεύων ἀπεσύλα,
Μηδὲν ἔχων καθαρὸν, μηδὲ τὸ σῶμα ῥύπου.

Ἄδηλον.

Ἀνθρακίων δέκα μέτρα φέρων, ἔσο καὶ σὺ πολίτης·
Ἦν δὲ καὶ ὧν ἀγάγῃς, αὐτὸς ὁ τριπτόλεμος.
Δεῖ δὲ καὶ ἡρακλείδῃ ὑφηγητῆρι δοθῆναι
Ἠκαυλὸν κράμβης, ἢ φακὸν, ἢ κοχλίας.

Ταῦτ' ἔχε, καὶ λέγε σαυτὸν ἐρεμνὰ, κέκροπα, κόθρον,
Οὐκ ἐθέλης· οὐδεὶς οὐδὲν ἐπιστρέφεται.

ΕΙΣ ΘΥΓΑΤΕΡΑΣ. κξζ καζ

ΛΟΥΚΙΛΛΙΟΥ.

Οὐκ ἔστι θυγάτηρ μείζων βάρος· εἰ δ' ὅχει σοι
Εὐκλήμων, εἶδος κοῦφον, ἄκουσον ἐμοῦ.
Ἔστιν σοὶ κόρη, κἀμοὶ θυγάτηρ· λάβε σοῦτον,
Καὶ δός μοι κόρας ἀντὶ μιᾶς ἑκατόν.

ΕΙΣ ΙΑΤΡΟΥΣ, κξζ κβζ

ΛΟΥΚΙΛΛΙΟΥ.

Πεύσ' ἀνθρώπαζε δημόστρατε, χαῖρ' ἱερὸν φῶς,
Εἶπε πάλαι. οὕτως οὐκ ἀπόκοπος εἶ δίων.
Οὐ μόνον ἐξετύφλωσεν ὀλυμπικόν, ἀλλὰ δι' αὐτοῦ
Ἐκεῖνος ἧς εἶχεν τὰ βλέφαρ' ἐξέβαλεν.

Τοῦ αὐτοῦ.

Τοῦ λιθίνου δίος ἐλθὲς ὁ κλινικὸς ἥψατο μοίρης·
Καὶ λίθος ὤν, καὶ ζεῖς, σήμερον ἀνθρώπους.

Τοῦ αὐτοῦ.

Ἑρμοκράτη ὃν ἰάσω ὁ ἀστρολόγος διέφαντος
Εἶπε μόνοις ζωῆς ἀνέα μοῖρα ἔχει.
Κἀκεῖνος γελάσας, τί μοῦ ὁ χρόνος ἀνέα μοῖρα;
Φησὶ λέγε, σὺ νόει· τὰ μὰ δὲ σαύτου μά σοι.
Εἶπε, καὶ ἀκλείνας, μόνον ἥψατο· καὶ διέφαντος,
Ἄλλον ἀπελπίζων, αὐτὸς ἀπεσκάρισεν.

Τοῦ αὐτοῦ.

Ἦν τὶν ἔχῃς ἐλθρὸν διώκουσιε, μὴ καταρᾶσῃ
Τοῖσδε τοῖσιν τούτῳ, μηδὲ σὺ ἀμφικάτῃ,
Μηδ' εἴπῃς τυφλοὺς ποιῆς θεόν· ἀλλὰ σίμωνα·
Καὶ γνώσῃ τί θεὸς καὶ τί σιμῶν δύναται.

Τοῦ αὐτοῦ.

Εἰς ἅιδος κατέπεμψε πάλαι ποτὲ δέσποτα καῖσαρ,
Ὡς λόγος, θούριδος τὸν μέγαν ἡρακλέα.

Νῦν δ' ἐμὲ μὴν ὀφάνης ὁ κλινικός. ὥστε λεγέσθω
Κλινικὸς εὐρυσθεὺς, μηκέτι μὴν ὀφάνης.

ΣΤΡΑΤΩΝΟΣ.

Ἰητρὸς καπίτων χρύσην ἐνέχρισεν, ὁρῶντα
Ὀκτὼ μὲν μακρὸν πύργον ἀπὸ σταδίων,
Ἄνδρα δ' ἀπὸ σταδίου, διὰ δώδεκα δ' ὄρτυγα πηχῶν·
Φθεῖρα δ' ἀπὸ σπιθαμῆς καὶ δύο δερκόμενον.
Νῦν δ' ἀπὸ μὲν σταδίου πόλιν οὐ βλέπει, ἐκ δὲ διπλέθρου
Καιόμενον κατιδεῖν τὸν φάρον οὐ δύναται.
Ἵππον ἀπὸ σπιθαμῆς δὲ μόλις βλέπει, ἀντὶ δὲ τοῦ πρὶν
Ὄρτυγος, οὐδὲ μέγαν στρουθὸν ἰδεῖν δύναται.
Ἂν δὲ προσεγχρίσας αὐτὸν φθάσῃ, οὐδ' ἐλέφαντα
Οὐκ ἔτι μήποτ' ἴδῃ πλησίον ἑσταότα.

ΝΙΚΑΡΧΟΥ.

Οὔτ' ἔκλυσεν φείδων μ', οὔθ' ἥψατο· ἀλλὰ πυρέξας
Ἐμνήσθην αὐτοῦ τοὔνομα, κἀπέθανον.

Τοῦ αὐτοῦ.

Ἰητρὸς τὴν γραῦν εἴτ' ἔκλυσεν, εἴτ' ἀπέπνιξεν,
Οὐδεὶς γιγνώσκει· δαιμόνιον τὸ τάχος.
Ὀψόφος ἦν κλυστῆρος ἐν οὔασι, καὶ στεφανοῦτο
Ἡ σορός. οἱ δ' ἄλλοι τὸν τάφον ηὐτρέπισαν.

Τοῦ αὐτοῦ.

Ὀρθῶσαι τὸν κυρτὸν ὑποσχόμενος διόδωρον
Σωκλῆς, τετραπέδους τρεῖς ἐπέθηκε λίθους
Τοῦ κυρτοῦ στιβαροὺς ἐπὶ τὴν ῥάχιν· ἀλλὰ πιεσθεὶς
Τέθνηκεν, γέγονεν δ' ὀρθότερος κανόνος.

Τοῦ αὐτοῦ.

Χειρουργῶν ἔσφαξεν ἀκεστορίδην ἀγέλαος.
Ζῶν γὰρ χωλεύειν (φησὶν) ἔμελλε τάλας.

Τοῦ αὐτοῦ.

Πέντ' ἰητρὸς ἀλεξις ἅμ' ἔκλυσε, πέντ' ἐκάθηρε,
Πέντ' ἴδεν ἀῤῥώστους, πέντ' ἐνέχρισε πάλιν·
Καὶ πᾶσιν μία νὺξ, ἓν φάρμακον, εἷς σοροπηγὸς,
Εἷς τάφος, εἷς ἀΐδης, εἷς κοπετὸς γέγονεν.

ΗΔΥΛΟΥ.

Αγὶς ἀρισταγόρω οὔτ' ἔκλυσεν, οὔτ' ἔθηγ' ἀϋτὴ,
Α μ' ὅσον εἰσῆλθεν, κἀφίχετ' ἀρισταγόρης.
Γ οὐ τοίω ἀκάνητον ἔχει φύσιν, ὦ θεσπιοὶ,
Α γὴν καὶ μίτραις βάλλετε καὶ στεφάνοις.

ΝΙΚΑΡΧΟΥ.

Ξ ξῖνε, τί μὴν πάθῃς; ἅ πίνες ἐν χθονὶ τοῖσδ' ὑπὸ τύμ
Ο ὐδ' γλυκερὸν φέγγος ζωπυρὸς ἐτέρισε; (βοις,
Δ ᾶμις, ἀρισοτέλης, δημήτριος, ἀρχεσίλαος,
Σ ώστρατος, οἵ τ' ὀπίσω, μίξει πραγτονίου.
Κ ηρύκιον γὰρ ἔχων ξύλινον, καὶ πλαταὶ πέδιλα,
Ω ς ἑρμῆς, καθ' ἅλις θεραπαινομένους.

Αδέσποτον.

Ι ηδὸς κρατέας καὶ δάμιν ἀλαφιαστὴς
Κ οινὰ ἀλλήλοις θέντο σιωπωμοσίῃ·
Καί ῥ' ὁ μὲν, οὐδ' κλέπτεσκεν ἀπ' ἀλαφίων τελαμῶν
Ε ἰσεπιδεσμεύειν πέμπε φίλῳ κρατέᾳ· (νας
Τὸν δ' ἀπαμειβόμενος κρατέας, εἰσεναφιάζειν
Π έμπεν ὅλοις αὐτῷ τοὺς θεραπαινομένους.

Αδηλον.

Ο ὐ μήλη, τελόδοντί δ' ἀπήλυσέν με χρῖνος,
Σ πόγγον ἔχων κενεὸν τῷ γραφικῷ πινάκῳ.
Τὴν μήλην δ' ἔλκω, ἐξέασε δ' βλέφαρόν μου
Ρ ιζόθεν, ἡ μήλη δ' ἔνδον ἔμεινεν ὅλη.
Α ν δὲ δὶς ἑπτάκις με, πονῶν πάλιν οὐκ ἀνοχλήσω
Ο φθαλμοὺς αὐτῷ πῶς γὰρ ὁ μηκέτ' ἔχων;

ΛΟΥΚΙΛΛΙΟΥ.

Ε ρμοκλέη τὸν ἰατρὸν ἰδὼν δριφαντος ἐν ὕπνοις,
Ο ὐκέτ' ἀνηγέρθη, καὶ τὸ δίαμμα φέρων.

ΠΑΛΛΑΔΑ.

Β έλτερον ἡγεμόνος λησοκτόνου ἐς χρίσιν ἐλθεῖν,
Η τοῦ χαλκουργοῦ γλωναδίου παλάμας.
Ο ς μὲν γὰρ φονέας ὁσίως συγέων, καταέμυξ·
Ο ς δὲ, λαβὼν μιαθοὺς, εἰς ἀΐδαν κατάγει.

Iz. iii.

ΚΑΛΛΙΚΗΡΟΥ.

Φαρμακίῃσι ῥόδων λέπαρα καὶ χιεράδας ἄιρῃ,
Τἄλλα δὲ πάντ' ἄιρῃ καὶ δίχα φαρμακιῶν.

ΑΓΑΘΙΟΥ.

Κῆτος μὲν ἀλκυμάχης κεκακαδμένος οὐ πυρετοῖο,
Καὶ σὲ λιθαγρίῳ βεβλημένον λαρυγγιόων·
Νυσσόμενος δ' ὁ πλευρὸν, ἅτε ξιφέεσσιν ἀμυνθέν,
Καὶ θαμὰ δισκελάδοις ἄσθμασι πνευστιόων.
Ἦλθε δὲ καλλίγραπτος ὁ κωΐος, ὁ πλατυλέγχης,
Τῆς παιωνίδος πληθύμενος σοφίης,
Γᾶσαν ἔχων σοφίγνωσιν ἐν ἄλγεσιν, οὔτι σοφιστὴν
Ἄλλο σοφαγγέλλων, ἢ ὃ γλυκύμυθον.
Ἀλκυμάχους δ' ἐδόκευεν ἀνάκλισιν, ἔκ τε προσώπου
Φάρξετο, καὶ παλάμης φαῦεν ὀπίσω μύθους.
Καὶ ὃ σοφὸν χρισίμων φαέων ἐλογίζετο γράμμα,
Γαῖαν ἀναπεμπάζων, οὐχ ἑκὰς ἱππόκρατους.
Καὶ τότε τὼ σοφίγνωσιν ἐς ἀλκυμάχου ἀνέφωνε,
Σεμνοπροσωπήσας καὶ σοφαρυσάμενος.
Εἴτε φάρυγξ βομβοῦσα, καὶ ἄγχια τύμματα πλευρῆς,
Καὶ πυρετῷ λήξαντι πνεῦμα δασυόμενον,
Οὐκ ἔτι τεθνήξῃ πλευρίτιδι. τοῦτο γὰρ ἡμῖν
Σύμβολον ἐσμὸς ἔστιν ἀπημοσυνάων.
Θαρσῶν. τὸν νομικὸν δὲ κάλει, καὶ χρήματα σαυτοῦ
Εὖ διάθεις, βίοτον λῆγε μεριμνοτόκον.
Καὶ μετὰ τὸν ἰητῆρα, σοφῥήσιος εἵνεκεν ἔθλης,
Ἐν τελετῇ μοίρῃ κάλλιπε κληδονόμον.

Τοῦ αὐτοῦ.

Ἰητρὸς τις ἐμοὶ τὸν ἐὸν φίλον υἱὸν ἔπεμψεν,
Ὡς τε μαθεῖν παρ' ἐμοὶ ταῦτα τὰ γραμματικά.
Ὡς δὲ τὸ, μιὴν ἀφδε, καὶ ἄλγεα μυρί' ἔδηκεν,
Ἐγὼ, καὶ τὸ τρίτον τοῖς σὺν ἀκόλουθον ἔπος,
Πολλὰς δὴ ἰφθίμους ψυχὰς Ἀΐδι σοφίαψεν,
Οὐκ ἔτι μιν πέμπει σοφὸς ἐμὲ μαθησόμενον.

Ἀλλά μ' ἰδὼν ὁ πατὴρ, σὺ μὲν χάεις, εἶπεν, ἑταῖρε·
Αὐτὰρ ὁ παῖς πρὸ ἐμοῖ τῶν τα μαθεῖν δυώατα.
Κἀγὼ δ' ἐγὼ πολλὰς ψυχὰς ἀϊδι προϊάπτω,
Κἀπὸς τῦτ' οὐδὲν γραμματικοῦ δέομαι.

ΕΙΣ ΙΠΠΟΥΣ, κξ΄ κη΄

ΛΟΥΚΙΛΛΙΟΥ.

Θεσσαλὸν ἵππον ἔχῃς ἐφασίρατε, ἀλλὰ φαλῦσαι
Οὐ δυώατ' αὐτὸν ὅλης φάρμακα θεσσαλίης.
Οὕντως δουρειον ἵππον· ὃν εἰ φρυγὲς εἶλκον Ἀχαιοὶ
Σὺν δολίοις, σκαιὰς οὐκ ἂν ἐσῆλθε πύλας.
Οὕνεκά σ' ἀνάθημα θεοῦ τινος, εἰ προσέχῃς μοι,
Τὰς κριθὰς ποίοις τοῖς τεκμηίοις πιστώσω.

Τοῦ αὐτοῦ.

Ἵππον ὑποχλωρός μοι ὁ λύμπιος, ἤγαγε οὖρος,
Ἧς ὀλιγοδρανέων ἵππος ἀπεχρέματο.

ΕΙΣ ΚΙΘΑΡΩΔΟΥΣ ΚΑΙ ΤΡΑΓΩΔΟΥΣ, κξ΄ κθ΄

ΛΟΥΚΙΛΛΙΟΥ.

Νυκλικὴ ἄδε θανατηφόρον· ἀλλ' ὅτε μὴ ἄσῃ
Δημόφιλος, θνήσκει καὐτὸς ὁ νυκλικὴ ἄδε.

Τοῦ αὐτοῦ.

Σιμύλος ὁ ψάλτης τοὺς γείτονας ἔκλαπε πάντας,
Νυκλὸς ὅλης ψάλλων, πλὴν ἑνὸς ὠειγλίου.
Κωφὸν γὰρ φύσις αὐτὸν ἐθήκατο· τοὔνεκεν αὐτῷ
Ζωὴ αὐτ' ἀκοῆς δῶκε θεὸς σοφίην.

ΑΜΜΙΑΝΟΥ.

Νικητὴς ᾄδων, πλὴν ᾠδῶν ἐστιν Ἀπόλλων·
Ἂν δὲ ἰατρεύῃ, πλὴν θεραπευομένων.

ΛΟΥΚΙΛΛΙΟΥ.

Πέντ' ὀβολῶν πέπρακεν Ἀπολλοφάνης ὁ τραγῳδὸς
Γέντε θεὴν σκεύη, ἣν κλέος ῥόπαλον,
Τισιφόνης τὰ φόβητρα, πόσις δ' ὄφις ἐστὶν ἀκοντὴς,
Ὅπλον ἀθλητῆς, Ἀρτέμιδος φαρέτρη.

Οἱ δὲ θεοὶ πᾶν ζῳὸν καθήμενοι ἐξεδύησαν
Εἰς βερχύσιον αἰγείου κέρμα καὶ οἰναρίου.

ΔΙΟΣΚΟΡΙΔΟΥ.

Γάλλων ἀρίσταγόρης ὠρχήσατο· τοὺς δὲ φιλόπλους
Τιμηνίδας ὁ καμὼν πολλὰ διῆλθον ἐγώ.
Χὠ μὲν, πιμηθεὶς ἀπεπέμπετο· τὼ δὲ τάλαιναι
Ὑρνηθὼ κροτάλων εἷς φόφος ἐξέβαλεν.
Εἰς πῦρ ἡρώων ἴτε φαρμάκιες. ἐν γὰρ ἀμούσοις
Καὶ κίθαρις κύκνου φθέγξατ' ἀοιδότερον.

ΕΙΣ ΚΛΕΠΤΑΣ, κεζ κεζ

ΛΟΥΚΙΛΛΙΟΥ.

Τὼ ἀναδυομένω ἀπὸ μητέρος ἄρτι θαλάσσης
Κύπριν ὅλην χρυσῆν ἐξέβαλον κλοπίδων.
Καὶ χειρὶ μὲν σκάτσυρεν ὁ λοσφύελον ἀδῶνιν,
Καὶ ὁ πρέσβυς μικρὸν ἐρωτάδιον.
Ἀὐτοὶ νεῶ ἐρέοισιν ὅσοι ποτὲ φῶρες ἄριστοι,
Οὐκ ἐπὶ σοὶ χείρων εἰς ἕνα ἐρχόμεθα.

Τοῦ αὐτοῦ.

Τὸν θεὸν αὐτὸν ἔκλεψεν ὃν ὁρκίζεσθαι ἔμελλεν
Εὐτυχίδης, εἰπών, οὐ δύναμαί σ' ὀμόσαι.

Τοῦ αὐτοῦ.

Τὸν πολιοῦχον Ἑρμῆν, τὸν θεῶν ὑπηρέτην,
Τὸν Ἀρκάδων ἄνακτα, τὸν βουλάρτην,
Ἔφυγα τῶνδε γυμνασίων ὀπίσω ποτ',
Ὁ νυκτοκλέπτης αὐλὸς εἶπε βασάσας,
Πολλοὶ μαθηταὶ κρείττονες διδασκάλων.

Τοῦ αὐτοῦ.

Τὸν τῶν κλεπτόντων μηνύτορα φοῖβον ἔκλεψιν
Εὐτυχίδης, εἰπών, μὴ πάνυ πολλὰ λάλει.
Σύγχρινον δὲ τέχνῃ τέχνην, καὶ χείρεσι χεῖρας,
Καὶ μυθίην κλέπτῃ, καὶ θεὸν εὐτυχίδῃ.
Τῶν δ' ἀχαλινώτων σοι χάριν αὐτίκα φραθείς,
Τοῖς ὠνησαμένοις πρῶ' ὃ θέλεις με λέγε.

Τοῦ αὐτοῦ.

Βουκόλε, τὴν ἀγέλην πόῤῥω νέμε, μή σε περικλῆς
Ὁ κλέπτης αὐταῖς βοισὶ συνεξελάσῃ.

Τοῦ αὐτοῦ.

Εἰ πόδας εἶχε δίων οἵας χέρας, οὐκ ἔτ' ἂν ἑρμῆς
Πτηνὸς ἐν ἀνθρώποις, ἀλλὰ δίων ἐκρίθη.

Τοῦ αὐτοῦ.

Τὴν γένεσιν λυποῦντα μαθὼν κρόνον ἡλιόδωρος,
Νύκτωρ ἐκ ναοῦ χρύσεον ἦρε κρόνον,
Τίς πρῶτος κακοποιὸς ἐλήλυθε, πείρασον, εἰπὼν,
Δέσποτα, καὶ γνώσῃ τίς τινος ἐστὶ κρόνος.
Ὃς δ' ἄλλῳ κακὰ τεύχει, ἑῷ κακὸν ἥπατι τεύχει.
Εὑρών μοι τιμὴν, πᾶν ἀνάτελλ' ὃ θέλεις.

Τοῦ αὐτοῦ.

Ἐκ τῶν ἑσπερίδων τῶν τοῦ διὸς ἦρε μενίσκος,
Ὡς τὸ πρὶν ἡρακλέης, χρύσεα μῆλα τρία.
Καὶ τί γάρ; ὡς ἑάλω, γέγονεν μέγα πᾶσι θέαμα,
Ὡς τὸ πρὶν ἡρακλέης, ζῶν κατακαιόμενος.

Τοῦ αὐτοῦ.

Εἴσιδεν ἀντίοχος τὴν λεσιμάχου ποτὲ τύλην,
Κοὐκ ἔτι τὴν τύλην εἴσιδε λεσίμαχος.

Ἀδηλον.

Χοῖρι μὲν, οὐκ ἴδιον δέ με θύετε· καί με καλεῖτε
Χοιρίδιον, φανερῶς εἰδότες οὐκ ἴδιον.

Ἀδηλον.

Ἡ δεῖ μὲν πολέμων ἀντώνιον ὄντα σε πάντες,
Ἐξαπίνης τρία σοι γράμματα πῶς ἔλιπεν;

ΕΙΣ ΚΟΥΡΕΑΣ, κετὰ κετὰ

ΛΟΥΚΙΛΛΙΟΥ.

Τὸν δασὺν ἑρμογένη ζητεῖ πόθεν ἄρξεθ' ὁ κουρεὺς
Κείρειν τὴν κεφαλὴν, ὄνθ' ὅλον ὡς κεφαλήν.

Τοῦ αὐτοῦ.

Ἄρες ἄρες βροτολοιγὲ, μιαιφόνε, παύεο κουρεῦ
Τέμνων· οὐ γὰρ ἔχεις οὐκ ἔτι ποῦ με τάμῃς.

Αλλ' ἤδη μεταβὰς ἐπὶ τοὺς μύας, ἢ τὰ κάτωθεν
Τῶν γονάτων, οὕτω τέμνε με· καὶ παρέχω.
Νῦν μὲν γὰρ μυῶν ὁ τόπος γέμει· ἢν δ' ἐπιμείνῃς,
Ὀψεὶ καὶ γυπῶν ἔθνεα καὶ κοράκων.

Αδηλον.

Κουρεὺς καὶ ῥαφιδεὺς κατεναντίον ἦλθον ἀγῶνος,
Καὶ τάχα νικῶσιν τὸν ξυρὸν αἱ ῥαφίδες.

ΕΙΣ ΚΥΒΕΥΤΑΣ,

κεζ' κζ

ΠΑΛΛΑΔΑ.

Πάντων μουσοπόλων ἡ καλλιόπη θεός ἐστιν.
Σεῖο δὲ καλλιόπη, ταβλιόπη λέγεται.

ΕΙΣ ΚΥΝΗΓΟΥΣ,

κεζ' κη

ΛΟΥΚΙΛΛΙΟΥ.

Πανὶ φιλοσπήλυγγι, καὶ οὐρεοφοιτάσι νύμφαις,
Καὶ σατύροις, ἱεραῖς τ' ἔνδον ἁμαδρυάσι,
Σὺν κυσὶ, καὶ λόγχαις ταῖς πρὶν συοφόντισι μερκος,
Μηδὲν ἑλὼν, αὐτοὺς τοὺς κύνας ἐκρέμασεν.

ΕΙΣ ΚΩΜΩΔΟΥΣ,

κεζ' κθ

ΠΑΛΛΑΔΑ.

Παύλῳ κωμῳδῷ κατ' ὄναρ ςας εἶπε μένανδρος,
Οὐδὲν ἐγὼ κτ' σοῦ, καὶ σὺ κακῶς με λέγεις.

ΕΙΣ ΚΩΦΟΥΣ, κεζ' λ

ΝΙΚΑΡΧΟΥ.

Δυσκώφῳ δύσκωφος ἐκρίνετο· καὶ πολὺ μᾶλλον
Ἦν ὁ κριτὴς τούτων τῶν δύο κωφότερος.
Ὧν ὁ μὲν ἀντέλεγεν τὸ ἐνοίκιον αὐτὸν ὀφείλειν
Μηνῶν πένθ'· ὁ δ' ἔφη νυκτὸς ἀληλεκέναι.
Εμβλέψας δ' αὐτοῖς ὁ κριτὴς, λέγει, ἐς τί μάχεσθε;
Μήτηρ ἔσθ' ὑμῖν; ἀμφότεροι τρέφετε.

ΕΙΣ ΛΑΙΜΑΡΓΟΥΣ,
χξζ λαζ

ΛΟΥΚΙΛΛΙΟΥ.

Ο ὐδὲν ἀφῆκεν ὅλως δρεπύσιε λείψανον αὐλῷ
Ε ὐτυχίδης δ' ἔπινων, ἦρε δὲ πρώτ' ὀπίσω.
Κ αἰνεῖ δ' Εὐτυχίδης μὴ ἔχῃ μέγα δεῖπνον ἐν οἴκῳ,
Μ ὴ κληθεὶς δ' αὖλις ξηροφαγεῖ καθίσας.

Τοῦ αὐτοῦ.

Ο ὕτω σοι πέλοι δρεπύσιε ταῦτα γλύκιστα
Π αίπα· νόμου δὲ χάριν, δός τι καὶ ὧδε φαγεῖν.
Κ ἀγὼ κέκλημαι, κἀμοὶ πρέπει τι τούτων
Γ εύσασθαι πόπλιος· κἀμὸν ἔπεσι μέρος.
Ε ἰ μὴ λεπτὸν ἰδὼν με, δοκεῖς καταχεῖσθαι ἄρωστον,
Ε ἶθ' οὕτω τρῦφος, μή σε λαθὼν τι φάγω.

Τοῦ αὐτοῦ.

Κ αὶ ζώγλης ὅσα πέντε λύκοι γάμε, καὶ τὰ θεῖα σά,
Ο ὐ τὰ σά, τῶν δὲ πέλοις, πρώτα δίδως ὀπίσω.
Π λὴν μὴ τοῦ κυφίνου τοῦ τοὺς πόδας αὔλιον ἔρχου,
Π είσματα καὶ σοῦγλον καὶ σαρὸν οὐθὺς ἔχων.

Τοῦ αὐτοῦ.

Η ν βραδὺς Εὐτυχίδης σαπρόδρομος, ἀλλ' ὅτι δεῖπνον
Ε ἶχεν, ὥστε λέγειν, Εὐτυχίδης πέταται.

ΑΓΑΘΙΟΥ σχολαστικοῦ.

Ο ὔτις ἀλιπτήρας ἰδεῖν τέτληκεν ὀδόντας
Υ μετέρους, ἵνα σοῖς ἐν μεγάροις πελάσῃ.
Ε ἰ γὰρ ἀεὶ βούβρωσιν ἔχῃς ἑρεσχηδόνος αὐτῷ,
Ν αὶ ταχὰ δαρδάψας καὶ φίλον οὐ καλέῃς.
Α λλ' οὐ σεῖο μέλαθρά με δέξεται· οὐ γὰρ ἔγωγε
Β ήσομαι ὑφ' ὑμετέρῃ γαστρὶ λαφυξόμβος.
Ε ἰ δέ ποτ' ἐς τεὸν οἶκον ἐλεύσομαι, οὐ μέγ' ἀΰσας
Λ αρτιάδης σκύλλης χάσμασιν αὐτίκα σας·
Α λλ' ἔσομαι πολύτλας τις ἐγὼ πλέον, εἴ σε θερήσω,
Κ ύκλωπος κρυεροῦ μηδὲν ἐλαφρότερον.

Τοῦ αὐτοῦ.

Υἱὸς καὶ γενετὴρ δῆριν φιλόνεικον ἔθεντο,
Τίς πλέον ἐκδαπανῶν, κλῆρον ἅπαντα φάγοι·
Καὶ μετὰ τὴν βρῶσιν τὴν χρηματικὴν μάλα πᾶσι,
Υστατον ἀλλήλους λοιπὸν ἔχουσι φαγεῖν.

Τοῦ αὐτοῦ.

Ορνεον ἠσθίομεν κεκλημένοι ἄθλιον ἄνδρες,
Αλλων ὀρνίθων βρώματα γιγνόμενοι.
Καὶ τὸν μὲν τιτῦὸν κτὰ γῆς δύο γῦπες ἔδουσιν,
Ημᾶς δὲ ζῶντας τέσσαρες αἰγυπιοί.

Τοῦ αὐτοῦ.

Μηδείς μοι ταύτην ἐρασίστρατε τὴν σπατάλην σου
Ποιήσειε θεῶν, ᾗ σὺ κατασπαταλᾷς.
Εσθων ἐκ τραπέλως στομάχων κακὰ χείρονα λιμοῦ,
Οἷα φάγοιεν ἐμεῖν ἀντιδίκων τεκνία.

ΕΙΣ ΛΕΠΤΟΥΣ, κετὰ λβτ

ΛΟΥΚΙΛΛΙΟΥ.

Τὴν μικρὴν παίζουσαν ἐρώτιον ἥρπασε κώνωψ·
Ηδὲ, τί φησιν; δῶ ζεῦ πάτερ, εἴμ' ἐθέλεις.

Τοῦ αὐτοῦ.

Τῷ πατρὶ θυμωθεὶς διονύσιε μέρκος ὁ μικρὸς,
Πυῤῥῆνα στήσας, αὐτὸν ἀπηγχόνισε.

Τοῦ αὐτοῦ.

Εν καλάμῳ πήξας ἀθέρα στρατόνικος ὁ λεπτὸς,
Καὶ τριχὸς ἐκδήσας, αὐτὸν ἀπηγχόνισε.
Καὶ τί γὰρ, οὐχὶ κάτω βεῖσεν βαρὺς, ἀλλ' ὑπὲρ αὐτῶν,
Νηνεμίας οὔσης, νεκρὸς ἄνω πέταται.

Τοῦ αὐτοῦ.

Γαΐος ἐκπνεύσας τὸ πανύστατον ἐχθὲς ὁ λεπτὸς,
Εἰς τὴν ἐκκομιδὴν οὐδὲν ἀφῆκεν ὅλως.
Καὶ πέρας εἰς ἀΐδην καταβὰς οἷός περ ὅτ' ἔζη
Τῶν ὑπὸ γῆν σκηνετῶν λεπτότερος πέταται.
Τὴν δὲ κενὴν κλίνην οἱ φράτορες ἦραν ἐπ' ὤμων,
Εγγράψαντες ἄνω, γαΐος ἐκφέρεται.

Τοῦ αὐτοῦ.

Τῶν ὀπισθουρείων ἀτόμων ποτὲ μυρμηκος ὁ μικρὸς,
Τῇ κεφαλῇ πεῖσας, εἰς ὃ μέσον διέβη.

Τοῦ αὐτοῦ.

Εἰς σάλπιγγ' ἐνέπνευσεν ὅσον βεβαχὺ μυρμηκος ὁ λε-
Καὶ χθὲς ἡ κεφαλῆς βοῦς ἀπῆλθε κάτω. (πτὸς,

ΑΜΜΙΑΝΟΥ.

Τὸν μικρὸν μακρῶνα θέρεις κωμῳδηνον βίρωνα,
Εἰς πεῖσμα μικροῦ τοῦ ποδὸς εἵλκυσε μῦς.
Ὃς δ' ἐν τῇ πεῖσμῃ φίλος τὸν μῦν ἀποπνίξας,
Ζεῦ πάτερ, εἶπεν, ἔχθος δεύτερον ἡράκλεα.

Ἀδηλον.

Ἐγὼ μηδὲ πολις, πρὶν τὴν πόλις, εἶτα λεγέσθω
Μηδὲ πολις· μὴ νῦν, ἰσίκα μηδὲ πόλις.

ΛΟΥΚΙΛΛΙΟΥ.

Τὸν λεπτὸν φυσῶντα δι' πῦρ πρόκλον ἦρεν ὁ καπνός,
Καὶ μετὰ τῶν θυείδων ἔνθεν ἀπῆλθεν ἔχων.
Ἀλλὰ μόλις νεφέλη προσενήξατο, καὶ δι' ἐκείνης
Γρηγορατέρη πεσοῦσα μυεῖα τοῖς ἀτόμοις.

Τοῦ αὐτοῦ.

Οὕτω κουφότατος πέλε γαίης, ὥστ' ἐκλύμβα
Τοῦ ποδὸς ἐκκρεμάσας ἢ λίθον ἢ μόλιβον.

ΑΜΜΙΑΝΟΥ, οἱ δὲ, ΝΙΚΑΡΧΟΥ.

Ἐξαίρων ποτ' ἀχαθὰν ὁ λεπταχινὸς δρυοδόρος,
Αὐτὸς ἐτρύπησε τὸν ποδὶ τὸ βελόνιον.

ΛΟΥΚΙΛΛΙΟΥ.

Ἐξ ἀτόμων ὀπισθουρεὺς ὅλον τὸν κόσμον ἔγραψεν
Εἶναι, ὅ τι δοκεῖ ἀλκιμὲ λεπτότατον.
Εἰ δὲ τότ' ἦν δρυόφαντος, ἔγραψεν ἂν οὐκ δρυόφαντον,
Τοῦ καὶ τῶν ἀτόμων πυκνότερον λεπτοτέρου.
Ἢ τὰ μὲν ἀλλ' ἔγραψε συνεσάναι ἐξ ἀτόμων αἱ,
Ἐκ τούτου δ' αὐτὰς ἄλκιμε τὰς ἀτόμους.

Τοῦ αὐτοῦ.

Ἰπνεύων μύρμηκι μυρεύρατος ὡς ἐλέφαντι,
Δισμὸς ἐξαπίνης ὕπνιος ἐξετάθη.

Λακτισθεὶς δ' ὡς εἶχε τὸ καίριον, ὦ φθόνε, φησὶν,
Οὕτως ἱππεύων ὤλετο καὶ φαέθων.

Τοῦ αὐτοῦ.

Τὸν μέγαν ἐξήτουν εὐμήκιον· ὃς δ' ἐκάθευδε,
Μικρῷ ὑπ' ὀξυβάφῳ τὰς χέρας ἐκτανύσας·

Τοῦ αὐτοῦ.

Ἀρθεὶς ἐξ αὔρης λεπτῆς ἐποτᾶτο δι' αἴθρης
Χαιρήμων, ἀχύρου πολλὸν ἐλαφρότερος·
Καὶ τάχ' ἂν ἐρροίζητο δι' αἰθέρος, εἰ μὴ ἀράχνη
Τοὺς πόδας ἐμπλεχθεὶς, ὕπτιος ἐκρέματο.
Αὐτοῦ δὴ νύκτας τε καὶ ἤματα πέντε κρεμασθεὶς,
Ἑκταῖος κατέβη νήματι τῆς ἀράχνης.

Τοῦ αὐτοῦ.

Αἰγείρου φύλλῳ πεφορημένῳ ἐξ ἀνέμοιο
Πληγεὶς χαιρήμων, ὕπτιος ἐξετάθη.
Κεῖται δὴ τι τὸ ᾧ ἐνδίγκιος, ἢ παλικάμπῃ,
Ἁπλώσας κατὰ γῆς σῶμα τὸ καννάβινον.

ΝΙΚΑΡΧΟΥ.

Τρεῖς λεπτοὶ πρώην περὶ λεπτοσύνης ἐμάχοντο,
Τίς προκριθεὶς εἴη λεπτεπιλεπτότερος.
Ὧν ὁ μὲν εἷς, ἑρμῶν, μεγάλην ἐνεδείξατο τέχνην,
Καὶ διέδυ ῥαφίδος τρῆμα λίνον κατέχων·
Δῆμας δ' ἐκ τρώγλης βαίνων, ἐς ἀράχνιον ἔστη,
Ἡ δ' ἀράχνη νήθουσ' αὐτὸν ἀπεκρέμασεν.
Σωσίπατρος δ' ἐβόησεν, ἐμὲ στεφανώσατ'· ἐγὼ γὰρ
Εἰ βλέπομ', ἥττημαι. πνεῦμα γὰρ εἰμι μόνον.

ΛΟΥΚΙΛΛΙΟΥ.

Βουλόμενός ποθ' ὁ λεπτὸς ἀπάγξασθαι διόφαντος,
Νῆμα λαβὼν ἀράχνης, αὐτὸν ἀπηγχόνισεν.

Τοῦ αὐτοῦ.

Σῶμα φέρων σκιοειδὲς, ἀειδεῖ σύμπνοον αὔρῃ,
Μήποτε θαρσήσῃς ἄγχι τινὸς πελάσαι.
Μήτις ἔσω μυκτῆρος ἀναπνείων σε κομίσσῃ,
Ἀσθματος ἠερίου πολλὸν ἐλαφρότερον.

Οὐ σὺ μόρον τρομέεις. τότε γὰρ πάλιν οὐδὲν ἀμείψας,
Ἔσται ὡσαύτως φάσμα, τόπερ τελέθεις.

Τοῦ αὐτοῦ.

Μύρμηκος πτερόεντος ὑπὲρ νώτοιο καθεσθεὶς
Ἀδρηστὸς ῥήτωρ τοῖον ἔλεξεν ἔπος,
Ἱπτασο, τὸν σὸν ἔχεις ὦ πήγασε βηγεροφόντην,
Φέρτατον ἡρώων, ἡμιθανῆ σκελετόν.

Ἀδηλον.

Ῥιπίζων ἐν ὕπνοις δημήτριος ἀρτεμιδώραν
Τὴν λεπτὴν, ἐκ τοῦ δώματος ἐξέβαλεν.

Ἀδηλον.

Ἀρκάδας οὐχ οὕτω στυμφαλίδες, ὡς ἐμὲ κίχλαι
Αἱ νέκυες ξηροῖς ἤκαχον ὀσταρίοις,
Ἀρπυιαι, δραχμῆς ξηρὴ δεκάς. ὦ ἐλεειναὶ
Λειμώνων ἐτύμως ἔρρετε νυκτερίδες.

Ἀδηλον.

Εἰ μὲν ἐπ' ἀττελάβους ἄγεται στρατὸς, ἢ κυνομυίας,
Ἡμύας, ἢ ψυλλῶν ἱππικὸν, ἢ βατράχων,
Γαῖε, καὶ σὺ φοβοῦ μὴ καὶ σέ τις ἐγκαταλέξῃ,
Ὡς ἂν τῆς τούτων ἄξιον ὄντα μάχης·
Εἰ δ' ἀρετῆς ἀνδρῶν ἄγεται στρατὸς, ἀττέμας ἦσο·
Ῥωμαίοις οὐδεὶς πρὸς γραίους πόλεμος.

ΕΙΣ ΜΑΚΡΟΥΣ,

κετ' λετ'

ΛΟΥΚΙΑΛΙΟΥ.

Τιμόμαχον τὸν μακρὸν ὁ πεντόργυιος ἐχώρει
Οἶκος, ὑπὲρ γαίης πάντοτε κεκλιμένον·
Στῆναι δ' εἴποτ' ἔχρηζεν, ἔδει τοὺς παῖδας ἀπ' ὄρθρου
Τὴν ὀροφὴν τρῆσαι πέντ' ἐπὶ πέντε πόδας.

ΑΜΜΙΑΝΟΥ.

Τῷ στρατονικείῳ πόλιν ἄλλην οἰκοδομεῖτε,
Ἡ τούτοις ἄλλην οἰκοδομεῖτε πόλιν.

ΕΙΣ ΜΕΘΥΣΟΥΣ,

κετὰ λαῖς

ΓΑΛΛΑΔΑ.

Σιλβανὸς δύο παῖδας ἔχων, οἶνόν τε καὶ ὕπνον,
Οὐκ ἔτι τὰς μούσας οὐδὲ φίλους φιλέει·
Ἀλλ' ὁ μὲν ἐκ λεχέων νιν ἐΰῤῥοος ἐς φρένα θέλγει,
Ἄλλος δ' ἐν θαλάμοις ῥεγχόμενον κατέχει.

Ἄδηλον.

Ἠγραῦς ἡ βάκχου κυλίκων σποδὸς, ἔν ποτε νούσῳ
Κεκλιμένη, ζῆνὶ τοῖον ἔλεξεν ἔπος,
Ἦν ὀλοοῦ διάκαυμα φύγω πυρὸς, εἰς ἑκατόν σοι
Ἠελίους δροσερᾶς πίομαι ἐκ λιβάδος,
Ἀβρόμιος καὶ ἄοινος. ἐπεὶ δ' ὑπάλυξεν ἀνάγκην,
Αὐτῆμαρ τοῖον μῆχος ἐπεφράσατο·
Τρητὸν γὰρ θεμένη χερὶ κόσκινον, εὖ διὰ πυκνῶν
Σχοίνων ἠελίους πλείονας ηὐγάσατο.

Ἄδηλον.

Ἄπως φιλέεις ὦ μῆτερ ἐμοῦ πλέον υἱέος οἶνον;
Δὸς πιέειν οἴνοιο, ἐπεὶ γάλα τοπρὶν ἔδωκας.
Ὦ παῖ, σὴν μὲν δίψαν ἐμὸν γάλα τοπρὶν ἔπαυσε·
Νῦν δ' ἴθι πῖνε ὕδωρ, καὶ σβέννυ τὴν σέο δίψαν.

Ἄδηλον.

Δέρκεο πῶς διψῶν υἱὸς χέρα μητέρι τείνει.
Ἡ δὲ γυνὴ, ἅτε πᾶσα γυνὴ κεκρατημένη οἴνῳ,
Ἐν λαγυνίῳ πίνουσα, τόδ' ἔννεπε λοξὸν ἰδοῦσα,
Ἐκ δὴ βρόχθου ἐμεῖο, τί σοι δῶ τέκνον ἐμεῖο;
Ξέστας γὰρ τριάκοντα μόνους λάγυνος τόδε χωρεῖ.
Μῆτερ, μητρυιῆς χαλεπὸν τρόπον ἀντικρατοῦσα,
Ἀμπέλου ἡδυτάτης τάδε δάκρυα δός μοι ἀφύσσειν.

Εἰς ἀπιανὸν ἡγεμόνα πότην.

Γράμμα περισσὸν ἔχεις τὸ προκείμενον· ἢν ἀφέλῃ τις
Τοῦτό σοι, οἰκεῖον κτήσῃ ἁπλῶς ὄνομα.

ΕΙΣ ΜΙΛΙΑΡΙΟΝ ΨΥΧΡΟΝ, ϟξζ λεζ

ΝΙΚΑΡΧΟΥ.

Ηγέρασας χαλκεῶ μιλιάριον ἠλιόδωρε
Τοῦ σοῦ τῷ Θρᾴκην ψυχρότερον Βορέου,
Μὴ φύσα, μὴ κάμνε· μάτην τὸν καπνὸν ἐγείρεις.
Εἰς Ἅιδης χαλκῆν βαύκαλιν ἠγόρασας.

ΕΙΣ ΝΟΜΙΚΟΥΣ, ϟξζ λϛζ

ΛΟΥΚΙΛΛΙΟΥ.

Φαῦλος γραμματικὸς καὶ ζωγράφος ἦεν ἄριστος
Τίς θᾶσσον γράψῃ, καὶ τίς ὁμοιότερον.
Ἀλλ' ὅσῳ ῥοῦφος τείδου τὰ γράμματ' ἔμιμνε,
Φαῦλος ἔγραφε, λαβὼν εἰκονικὴν ἀπέχει.

Τοῦ αὐτοῦ.

Τοὺς πόδας εἰ κρατερὸς καὶ τὰς χέρας εἶχ' ὁλοκλήρους,
Οὐκ ἂν τῷ κεφαλῷ εἶχε τοιαῦτα γράφων.

ΕΙΣ ΟΚΝΗΡΟΥΣ, ϟξζ λζζ

ΛΟΥΚΙΛΛΙΟΥ.

Εἰς φυλακὴν βληθεὶς ποτε μύρκης ὁ ἀγρὸς ἐκείνῃ,
Ὁ κυνὸς ἐξῆθεῖν, ὡμολόγησε φόνον.

Τοῦ αὐτοῦ.

Τῆς νυκτὸς θηρῶσας ἐν ὕπνοις ποτὲ μύρκης ὁ ἀγρὸς,
Οὐκ ἔτ' ἐκοιμήθη, μὴ πάλι που θηρᾷ.

Τοῦ αὐτοῦ.

Οὕτως ἐς ἀγρὸς πολυπαίνετος, ὥστε πυρέξας,
Μηκέτ' ἀναιρῆναι πολυτὸς ἐδεῖτο θεοῦ.
Κἀμεινῶν ὅδε ἐθέλων μὲν ἐγείρεται, ἐν δέ οἱ αὐτῷ
Κωφὰ θεῶν ἀδίκθυα τὰ μερόπων ὀνόματα.

Τοῦ αὐτοῦ.

Ἐκλήθην ἐγὼ δημήτριε, σήμερον ἦλθον
Δίπυλον· μὴ μέμφῃ, κλίμακ' ἔχω μεγάλην.
Ἐν ταύτῃ πεπόνηκα πολὺν χρόνον· οὐδὲ ἂν ἐσώθην
Σήμερον, ἀλλ' αἰεὶ κέρκον ὄνου κατέχων.

ΕΙΣ ΟΡΧΗΣΤΑΣ, κετ' λη

ΛΟΥΚΙΛΛΙΟΥ.

Εκ ποίων ὁ πατήρ σε δρυῶν τέτμηκεν ἀρίστων,
Η ποίου σε μύλου κόψατο λατομιῶν;
Η γὰρ ἀπὸ δρυὸς ἐσσὶ παλαιφάτου, ἢ ἀπὸ πέτρης,
Ορχηστὴς, νιόβης ἔμπνοον ἀρχέτυπον.
Ως τέ με θαυμάζοντα λέγειν ὅτι καὶ σύ τι λητοῖ
Ηρισας. οὐ γὰρ ἂν ἧς αὐτομάτως λίθινος.

Τοῦ αὐτοῦ.

Γάντα καθ' ἱστορίην ὀρχούμενος, ἓν τὸ μέγιστον
Τῶν ἔργων παριδὼν, ἠνίασας μεγάλως.
Τὴν μὲν γὰρ νιόβην ὀρχούμενος, ὡς λίθος ἔστης,
Καὶ πάλιν ὢν καπαρεὺς, ἐξαπίνης ἔπεσες.
Αλλ' ἐπὶ τῆς κανάκης ἀφυῶς, ὅτι καὶ ξίφος ἦν σοι,
Καὶ ζῶν ἐξῆλθες· τοῦτο παρ' ἱστορίην.

ΓΑΛΛΑΔΑ.

Δάφνην καὶ νιόβην ὠρχήσατο μέμφις ὁ σιμός·
Ως ξύλινος, δάφνην· ὡς λίθινος, νιόβην.

ΕΙΣ ΠΑΧΕΙΣ, κετ' λθ

Αδέσποτον.

Τὸν παχὺν εὖ ἔγραψεν ὁ ζωγράφος· ἀλλ' ἀπόλοιτο
Εἰ δύο μισητοὺς ἀνθ' ἑνὸς ὀψόμεθα.

ΕΙΣ ΠΟΙΗΤΑΣ, κετ' μ

ΠΟΛΛΙΑΝΟΥ.

Εἰσὶ καὶ ἐν μούσῃσιν ἐριννύες, αἵ σε ποιοῦσι
Ποιητὴν, ἀνθ' ὧν πολλὰ γράφεις ἀκρίτως.
Τοίνυν σοῦ δέομαι, γράφε πλείονα. μείζονα γάρ σοι
Εὔξασθαι ταύτης οὐ δύναμαι μανίην.

Τοῦ αὐτοῦ.

Εἰ μὴ χαίρω φλῶρε, γενοίμην δάκτυλος, ἢ ποὺς
Εἷς τῶν σῶν τούτων τῶν κατατεινομένων.
Χαίρω νὴ τὸν κλῆρον, ὃν εὐκλήρησας ἐν ἄθλοις,
Ως περὶ χηρείας τοῦ στεφάνου μερίδος.

Τοιγὰρ θάρσει φλῶρε, καὶ εὔθυμος πάλι γίγνου·
Οὕτω νικῆσαι καὶ δόλιχον δυνάσαι.

Τοῦ αὐτοῦ.

Τοὺς κυκλίους τούτους τοὺς αὐτὰρ ἔπειτα, λέγοντας
Μισῶ, λωποδύτας ἀλλοτρίων ἐπέων.
Καὶ διὰ τοῦτ' ἐλέγοις προσέχω πλέον· οὐδὲν ἔχω γὰρ
Παρθενίου κλέπτειν, ἢ πάλι κἀλλιμάχου.
Θηρὶ μὲν οὐ ἀτόεντι γενοίμην, εἴποτε γράψω,
Εἴκελος, ἐκ ποταμῶν χλωρὰ χελιδόνια.
Οἱ δ' οὕτως τὸν ὅμηρον ἀναιδῶς λωποδυτοῦσιν,
Ὥστε γράφειν ἤδη, μηνῖν ἄειδε θεά.

ΛΟΥΚΙΛΛΙΟΥ.

Οὔτ' ἐπὶ δευκαλίωνος, ὕδωρ ὅτε πάντ' ἐγενήθη,
Οὔθ' ὁ καταπρήσας τοὺς ἐπὶ γῆς φαέθων,
Ἀνθρώπους ἔκτεινεν ὅσους ποτάμων ὁ ποιητὴς,
Καὶ χειρουργήσας ὤλεσεν ἑρμογένης.
Ὥστ' ἐξ αἰῶνος κακὰ τέσσαρα ταῦτ' ἐγενήθη,
Δευκαλίων, φαέθων, ἑρμογένης, ποτάμων.

Τοῦ αὐτοῦ.

Τέθνηκ' εὐτυχίδης ὁ μελογράφος. οἱ κατὰ γαῖαν
Φεύγετ', ἔχων ᾠδὰς ἔρχεται εὐτυχίδης.
Καὶ κιθάρας αὐτῷ διετάξατο συγκατακαῦσαι
Δώδεκα, καὶ κίστας εἰκοσιπέντε νόμων.
Νῦν ὑμῖν ὁ χάρων ἐπελήλυθε. ποῦ τις ἀπέλθῃ
Λοιπὸν, ἐπεὶ καὶ γῆν εὐτυχίδης κατέχει;

Τοῦ αὐτοῦ.

Ἀρχόμεθ' ἡλιόδωρε, ποιήματα παίζομεν οὕτω
Ταῦτα πρὸς ἀλλήλους ἡλιόδωρε θέλεις;
Ἄσσον ἴθ', ὥς κεν θᾶσσον ὀλέθρου. καὶ γὰρ ἔμ' ὄψει
Μακροφλυαρητὴν ἡλιοδωρότερον.

Τοῦ αὐτοῦ.

Μηκέτι, μηκέτι μέρκε τὸ παιδίον, ἀλλ' ἐμὲ κόπτου,
Τὸν πολὺ τοῦ παρὰ σοῦ νεκρότερον τεκνίου.

Εἰς ἐμὲ νῦν ἐλέγοις ποίει πάλιν, εἰς ἐμὲ θρήνους,
Δήμιε, τὸν στιχίνῳ σφαζόμενον θανάτῳ.
Τοῦ σοῦ γὰρ πάσχω νεκροῦ χάριν οἷα πάθοιεν
Οἱ καταδείξαντες βιβλία καὶ καλάμους.

Τοῦ αὐτοῦ.

Οὐχ οὕτω κακοεργὸν ἐχαλκεύσαντο μάχαιραν
Ἄνθρωποι, διὰ τὰς ἐξαπίνης ἐνέδρας,
Οἷον ἀκήρυκτον καλλίστρατε καὶ σὺ προελθὼν
Ποιεῖς μοι φονικῶν ἕξα μέτρων πόλεμον.
Σάλπιγξον ταχέως ἀνακλητικόν· εἰς ἀνοχὰς γὰρ
Καὶ πρίαμος κλαύσας ἡμερίων ἔτυχεν.

Τοῦ αὐτοῦ.

Οὐδενὸς ἐνθάδε νῦν τεθνηκότος ᾧ παροδῖτα,
Μάρκος ὁ ποιητὴς ᾠκοδόμησε τάφον·
Καὶ γράψας ἐπίγραμμα μονόστιχον, ὧδ' ἐχάραξε,
Κλαύσατε δωδεκέτη μάξιμον ἐξ ἐφέσου.
Οὐδὲ γὰρ εἶδον ἐγώ τινα μάξιμον· εἰς δ' ἐπίδειξιν
Ποιητοῦ, κλαίειν τοῖς παριοῦσι λέγει.

Τοῦ αὐτοῦ.

Ποιητὴς πανάριστος ἀληθῶς ἐστιν ἐκεῖνος
Ὅστις δειπνίζει τοὺς ἀκροασαμένους.
Ἢν δ' ἀναγιγνώσκῃ, καὶ νήστιας οἴκαδε πέμπῃ,
Εἰς αὐτὸν τρεπέτω τὴν ἰδίην μανίην.

ΑΡΑΤΟΥ.

Αἰάζω διότιμον, ὃς ἐν πέτραισι κάθηται,
Γαργαρέων παισὶν βῆτα καὶ ἄλφα λέγων.

Ἄδηλον.

Μισῶ δέσποτα καῖσαρ ὅσοις νέος οὐδέποτ' οὐδεὶς
Ἤρεσε, κἂν εἴποι, μῦθιν ἄειδε θεά.
Ἀλλ' ἢν μὴ πριάμου τις ἔχῃ χρόνον ἡμιφάλακρος,
Ἢ καὶ κυρτὸς ἄγαν, οὐ δύνατ' ἄλφα γράφειν.
Εἰ δ' ὄντως οὕτω τοῦτ' ἔστ' ἔχον ὦ ὕπατε ζεῦ,
Εἰς τοὺς κηλήτας ἔρχεται ἡ σοφία.

ΛΟΥΚΙΑΝΟΥ.

Ποιητὴς ἐλθὼν εἰς ἴσθμια πρὸς τὸν ἀγῶνα,
Εὑρὼν ποιητὰς, εἶπε παρίσθμι' ἔχειν.
Μέλλει δ' ἐξορμᾷν εἰς πύθια· κἂν πάλιν εὕρῃ,
Εἰπεῖν οὐ δύναται καὶ παραπύθι' ἔχω.

Ἀδέσποτον.

Ὠμοβοείου μοι παραθεὶς τόμον ἡλιόδωρε,
Καὶ τρία μοι κεράσας ὠμοβοειότερα,
Εὐθὺ κατακλύζεις ἐπιγράμμασιν. εἰ δ' ἀσεβήσας
Βεβρώκειν τινὰ βοῦν τῶν ἀπὸ τρινακρίας,
Βούλομ' ἅπαξ πρὸς κῦμα χανεῖν. εἰ δ' ἔστι τὸ κῦμα
Ἔνθεν μακρὰν, ἄρας εἰς τὸ φρέαρ με βάλε.

Ἀδηλον.

Τί ὠφέλησας τὴν πόλιν στίχους γράφων,
Χρυσὸν τοσοῦτον λαμβάνων βλασφημίας,
Πωλῶν ἰάμβους ὡς ἔλαιον ἔμπορος;

ΜΑΚΕΔΟΝΙΟΥ πρὸς τὸν εἰπόντα, Εἰ μὴ πότνα δίκη χρυσὸν ἀπεστρέφετο.

Παρθένος εὐπατέρεια δίκη, πρέσβειρα πολήων,
Οὐ τὸν ἐν εὐσεβίῃ χρυσὸν ἀποστρέφεται,
Ἀλλὰ καὶ αὐτὰ τάλαντα διὸς πάγχρυσα τελέσθη,
Οἷσι τὰ λαντεύει πάντα νόμον βιότου.
Καὶ τότε δὴ χρύσεια πατὴρ ἐτίταινε τάλαντα,
Εἰ μὴ ὁ μηρείων ἐξελάθου χαρίτων.

ΕΙΣ ΠΛΟΙΑ, κεστὸς μαζ

ΛΟΥΚΙΛΛΙΟΥ.

Οἱ τοῖχοι διόφαντε τὰ κύματα πάντα δέχονται,
Καὶ διὰ τῶν θυρίδων ὠκεανὸς φέρεται.
Δελφίνων δ' ἀγέλαι καὶ νηρέος ἀγλαὰ τέκνα
Ἐν τῷ πλοίῳ σου νηχόμενα βλέπεται.
Ἂν δ' ἀναμείνωμεν, τάχα πλεύσει καὶ τις ἐν ἡμῖν.
Οὐδὲ γὰρ ἔστιν ὕδωρ οὐκ ἔτι τῷ πελάγει.

Τοῦ αὐτοῦ.

Εἰς πέλαγος πλέομεν διονύσιε, καὶ γεγέμισται
Τὸ πλοῖον πάντος πανταχόθεν πελάγους.
Αντλεῖται δ' ἀδρίας τυῤῥηνικὸς ἰστρικὸς αἴγων,
Οὐ πλοῖον, πηγὴ δ' ὠκεανοῦ ξυλίνη.
Ο πλίζου καῖσαρ, διονύσιος ἔρχεται ἤδη,
Οὐκ ἔτι ναυκληρεῖν, ἀλλὰ θαλασσοκρατεῖν.

ΒΙΑΝΟΡΟΣ.

Τὸ σκάφος οὐ βυθὸς εἷλε, (πόθεν βυθός; οὐ γὰρ ἔπλωσεν)
Οὐδὲ νότος· πρὸ νότου δ' ὤλετο καὶ πελάγους.
Ηδη γάρ μιν ἅπασαν ἐπὶ ζυγὰ γομφωθεῖσαν
Ηλεῖφον πεύκης τῇ λιπαρῇ νοτίδι·
Πίσσα δ' ὑπερβρασθεῖσα πυρὸς φλογί, τῇ ἀλλὶ πιστὴν
Τευχομένην, γαίῃ δεῖξεν ἀπιστοτέρην.

ΑΝΤΙΠΑΤΡΟΥ θετταλοῦ.

Εἶχε φίλων λέμβον σωτήριχον, ἀλλ' ἐν ἐκείνῳ
Σωθῆν' οὐδὲ ζεὺς αὐτὸς ἴσως δυνάται.
Ο ὤνομα γὰρ μόνον ἦν σωτήριχος· οἱ δ' ἐπιβάντες,
Επλεον ἢ παρὰ γῆν, ἢ παρὰ παρσεφόνην.

ΛΟΥΚΙΛΛΙΟΥ.

Εκ ποίων ἔταμες, διονύσιε τὰ ξύλα ταῦτα
Λατομιῶν; ποίων τὸ σκάφος ἐστὶ μύλων;
Εἰ γὰρ ἐγώ τι νοῶ, μολίβου γένος, οὐ δρυός ἐστιν,
Οὐδ' ἐλάτης· μικροῦ ῥιζοβολεῖ τὰ κάτω.
Καὶ τυχὸν, ἐξαπίνης ἔσεται λίθος. εἶτα τὸ χεῖρον,
Γράψει μ' ὡς νιόβην δρᾶμα σαπρὸν μελιτῶν.

ΕΙΣ ΠΟΛΥΤΕΧΝΕΙΣ,

κετ' μβ'

ΠΑΛΛΑΔΑ.

Τέκνον ἀναιδείης, ἅμα θέσατε, θρέμμα μορίης,
Εἰπὲ τί βρενθύῃ, μηδὲν ἐπιστάμενος,
Εν μὲν γραμματικοῖς, ὁ πλατωνικός· ἂν δὲ πλάτωνος
Δόγματά τις ζητῇ, γραμματικὸς σὺ πάλιν.

Ἐξ ἑτέρου φεύγεις ἐπὶ θάτερον· οὔτε δὲ τέχνην
Οἶσθα γραμματικὴν, οὔτε πλατωνικὸς εἶ.
Πάντα μὲν οἶδα λέγεις, ἀτελὴς δ' ἐν πᾶσιν ὑπάρχεις·
Γευόμενος πάντων, οὐδὲν ἔχεις ἴδιον.

ΕΙΣ ΠΟΝΗΡΟΥΣ, κετὰ μετὰ

ΑΜΜΙΑΝΟΥ.

Εἴη σοι κατὰ γῆς κούφη κόνις οἰκτρὲ νέαρχε,
Ὄφρα σε ῥηϊδίως ἐξερύσωσι κύνες.

Τοῦ αὐτοῦ.

Θᾶττον ποιήσει μέλι κάνθαρος, ἢ γάλα κώνωψ,
Ἢ σύ τι ποιήσεις, σκορπίος ὤν, ἀγαθόν.
Οὔτε γὰρ αὐτὸς ἑκὼν τι ποιεῖς, οὔτ' ἄλλον ἀφίης,
Ὡς ἀστὴρ κρονικὸς πᾶσιν ἀπεχθόμενος.

Τοῦ αὐτοῦ.

Μητέρα τίς, πατέρ' ἄλλος ἀπέκτανεν, ἄλλος ἀδελφόν·
Πολλιανὸς τοὺς τρεῖς, πρῶτος ἀπ' οἰδίποδος.

Τοῦ αὐτοῦ.

Ὀψέ ποθ' ἡ ποδάγρα τὸν ἑαυτῆς ἄξιον εὗρεν,
Ὃν ποδαγρᾶν πρὸ ἐτῶν ἄξιον ἦν ἑκατόν.

Τοῦ αὐτοῦ.

Μασταύρων ἀφελὼν δύο, γράμματα μάρκε τὰ πρῶτα,
Ἄξιος εἶ πολλῶν τῶν ὑπολειπομένων.

Τοῦ αὐτοῦ.

Θηρίον εἶ παρὰ γράμμα, καὶ ἄνθρωπος διὰ γράμμα,
Ἄξιος εἶ πολλῶν, ὧν παρὰ γράμμα γράφῃ.

ΚΑΛΛΙΟΥ ἀργείου.

Αἰεὶ θηρίον ἦσθα πολύκριτε· νῦν δὲ πεπωκὼς,
Ἐξαπίνης ἐγένου λυσσομενές τι κακόν.
Αἰεί μοι δοκέεις κακὸς ἔμμεναι. οἶνος ἐλέγχει
Τὸν τρόπον· οὐκ ἐγένου νῦν κακὸς, ἀλλ' ἐφάνης.

ΔΗΜΟΔΟΚΟΥ.

Καὶ τόδε δημοδόκου, χιοῖ κακοί· οὐχ ὁ μὲν, ὃς δ' οὔ,
Πάντες πλὴν προκλέους· καὶ προκλέης δὲ χιός.

Τοῦ αὐτοῦ.

Καππαδόκην πότ' ἔχιδνα κακὴ δάκεν· ἀλλὰ καὶ αὐτὴ
Κάτθανε γεῦσα μένη αἵματος ἰοβόλου.

Τοῦ αὐτοῦ.

Καππαδόκαι, φαῦλοι μὲν ἀεί· ζώνης δὲ τυχόντες,
Φαυλότεροι· κέρδους δ' εἵνεκα, φαυλότατοι·
Ἦν δ' ἄρα δὶς καὶ τρὶς μεγάλης δράξωνται ἀπήνης,
Δὴ τότε γίγνονται φαυλεπιφαυλότατοι.
Μὴ, λίτομαι βασιλεῦ, μὴ τετράκις, ὄφρα μὴ αὐτὶς
Κόσμος ὀλισθήσῃ καππαδοκιζόμενος.

ΛΟΥΚΙΑΝΟΥ.

Εἰπέ μοι εἰρομένῳ κυλλήνιε πῶς κατέδυνε
Λολλιανοῦ ψυχὴ δῶμα τὸ φερσεφόνης.
Θαῦμα μὲν, εἰ σιγῶσα, τυχὸν δέ τι καὶ σὲ διδάσκειν
Ἤθελε· φεῦ, κείνου καὶ νέκυν ἀντιάσαι.

Ἀδέσποτον.

Δαμαγόραν, καὶ λοιμὸν, ἰσόψηφόν τις ἀκούσας,
Ἔστησ' ἀμφοτέρων τὸν τρόπον ἐκ κανόνος.
Εἰς τὸ μέρος δὲ καθείλκετ' ἀνελκυσθὲν τὸ τάλαντον
Δαμαγόρου, λοιμὸν δ' εὗρεν ἐλαφρότερον.

ΑΝΤΙΟΧΟΥ.

Ψυχὴν μὲν γράψαι χαλεπὸν, μορφὴν δὲ χαράξαι,
Ῥᾴδιον· ἀλλ' ἐπὶ τοὶ τοὔμπαλιν ἀμφότερα.
Τῆς μὲν γὰρ ψυχῆς τὸ διάστροφον ἔξω ἄγουσα
Ἐν τοῖς φαινομένοις ἡ φύσις εἰργάσατο·
Τὸν δ' ἐπὶ τῆς μορφῆς θόρυβον, καὶ σώματος ὕβριν,
Πῶς ἄν τις γράψῃ, μηδ' ἐσιδεῖν ἐθέλων;

Τοῦ αὐτοῦ.

Γαίης ἐκ γαλατῶν μηδ' ἄνθεα· ἧς ἀπὸ κόλπων,
Ἀνθρώπων ὀλέτειραι ἐριννύες ἐβλάστησαν.

ΕΙΣ ΠΟΡΔΗΝ, κεῖτο μέλος

ΝΙΚΑΡΧΟΥ.

Πορδὴ ἀποκτείνει πολλοὺς ἀδιέξοδος οὖσα·
Πορδὴ καὶ σώζει, τραυλὸν ἱεῖσα μέλος.

Ο ὐκχωῦ εἰ σώζῃ καὶ ἀποκλείνῃ πάλι πορδή,
Τοῖς βασιλεῦσιν ἴσην πορδὴν ἔχῃ δωάμιν.

ΕΙΣ ΓΑΡΟΡΙΣΤΑΣ, κεζ μεζ

ΑΜΜΙΑΝΟΥ.

Κἂν μέζεις ἡ ἐκκλέοις τηλοῦ ἔλθῃς προείζων,
Γῆς μέσσης αὐθρώποις πᾶσιν ἴσον σε μθύῃ·
Κείσῃ δ' ἱρῷ ὁμοῖος, ἔχων ὀβολοῦ πλέον οὐδέν,
Εἰς τιὼ σὸν ἔτι σὴν χθῦ ἀναλυόμθυος.

ΕΙΣ ΡΗΤΟΡΑΣ, κεζ μςζ

ΛΟΥΚΙΛΛΙΟΥ.

Χοιείδην καὶ βοῶ ἀπολώλεκα, καὶ μίαν ἄγκα,
Ων χάειν εἴληφας μαθάειον μθυέκλεις.
Οὔτε δέ μοι κοινόν τι τοῖς ὀθρυάδθυ γεθύηται,
Οὔτ' ἀπάγω κλέοντας ὁδοὺς ἀπὸ θερμοπυλῶν·
Ἀλλὰ τοῖς βὐτυχίδαι ἔχμθυ χρίσιν· ὥστε τί ποιῇ
Ἐνθάδε μοι ξέρξης καὶ λακεδαιμόνιοι;
Γλήν καί μοι μνήσθητι νόμου χάειν· ἢ μέγα κεκράξω,
Ἀλλα λέγ' μθυέκλεις, ἄλλα δ' χοιείδην.

Τοῦ αὐτοῦ.

Οὐ δέχεται μῦρίων τὸν ῥήτορα νεκρὸν ὁ πλούτων,
Εἰπών, ἀρκείτω κέρβερος ὧδε κύων.
Εἰ δ' ἐθέλῃς πλούτου, ἐξίοντι, καὶ μθυίτων
Τῷ μθυοποιητῇ, καὶ λιτοῦ μθυέτω.
Οὐδὲν γὰρ σοι χεῖθεν ἔχω κακόν, ἄγγελος αὖ ἐλθών
Ὡς δὲ θλοικίζῃ ῥοῦφος ὁ γραμματικός.

ΚΕΡΕΑΛΙΟΥ.

Οὐ δ' λέγειν ὠδάσιμα χὴ ἀπὸ καὶ ῥήματα πέντε,
Εὐζήλως ὅστις καὶ φεγνίμως μθυετᾶν.
Οὐδὲ γὰ εἰ κάρκαιρε, καὶ εἰ κναβῇ, τό, τε σίζῃ,
Καὶ κελάρυζε, λέγῃς, βὐθὺς ὁμπερος ἔσῃ.
Νοιῶ ὑποκεῖσθαι δεῖ τοῖς γράμμασι, χὴ φράσιν αὐτ'
Εἶναι κοινοτέραν, ὥστε νοῆν ἃ λέγῃς.

Ἀδηλον.

Εἰκὼν ἡ σέξτου μθυετᾶ, σέξτος δὲ σιωπᾶ.

Ρήτωρ ἐῶ εἰκών· ὁ δὲ ῥήτωρ, εἰκόνος εἰκών.

ΑΒΒΙΑΝΟΥ.

Ε πλὰ σολοικισμοὺς φλάκκῳ τὰς ῥήτορι δῶρον
Γ έμψας, αὐτέλαβον πέντε δραχμοίους.
Καὶ νῦν μοὶ φησιν τούτους ἀριθμῷ σοι ἐπέμψα,
Τοῦ λοιποῦ δὲ μέτρῳ, τοῖς κώφροσιν ἐρχόμενος.

Τοῦ αὐτοῦ.

Ρήτωρ ἑξαπίνης ἀσιατικός· οὐδὲν ἄπιστον·
Καὶ τοῦτ' ἐν ῥηδαίς νιφὶ γέγονεν ὀρτέμας.

ΛΟΥΚΙΛΛΙΟΥ.

Μηδὲ λαλῶν σοφόν ἐσολοίκισε φλάκκος ὁ ῥήτωρ.
Καὶ μηδὲν χαίρων, οὐθὺς ἐχαρίσατο,
Καὶ τῇ χθεὶ τὰ λοιπὰ σολοικίζῃ διανυθέων.
Κἀγὼ σ' αὐτὸν ἰδών, ὀρθόν σου δέδεται.

ΑΜΜΙΑΝΟΥ.

Αρκαδικὴν πῶλον κατ' ἰσθμιον ἁρκάδι δῶρον
Ε ρμείης ῥήτωρ ἧκεν ἀθηναγόρας.
Εἰ μὴ καὶ ῥήτωρ κατ' ἰσθμιον, οἷσομεν ἑρμῆ·
Εἰ δ' ὕπερ, ἁρκείτω, ἧκεν ἀθηναγόρας.

Τοῦ αὐτοῦ.

Εἰ βούλῃ τὸν παῖδα διδάξαι ῥήτορα παῦλε,
Ως οὗτοι πολίτες γράμματα μὴ μαθέτω.

Τοῦ αὐτοῦ.

Ρήτορα μαῦρον ἰδών, ἀπεθαύμασα, τὸν βαρύχλωρον,
Τέχνης ῥητορικῆς δαίμονα λευκοφόρον.

Τοῦ αὐτοῦ.

Αὐτὸν ὁρῶ σε μέδων τὸν ῥήτορα· φεῦ, τί θαῦμα.
Στειλάμενος σιγᾷς; οὐδὲν ὁμοιότερον.

Τοῦ αὐτοῦ.

Ρήτορος ἄλλ' εἰκών· ὁ δὲ ῥήτωρ, ῥήτορος εἰκών.
Καὶ πῶς; οὐ λαλέῃ. οὐδὲν ὁμοιότερον.

Τοῦ αὐτοῦ.

Πολλοῦ δεῖ, καὶ σφὶν, καὶ τοῖς πρὶν ἔναγχα, δικαιοῖ
Ανδρες· καὶ, λέγε δὴ τὸν νόμον ἐνθάδε μοι,

Κ αὶ ταυτὶ, καὶ μᾶλλ, καὶ τετραάκοντα, καὶ ἄττα,
Σ κελετίζουσ· καίτοι νὴ δία, καὶ μὰ δία,
Ρ ήτωρ ὅστις κρίττων, καὶ παιδία πολλὰ διδάσκει.
Γ ενοῦ δ' αὐτῆς γε, φάθι, καὶ μίνυνθά τι.

Τοῦ αὐτοῦ.

Ν ήπιε, πῶς σε λέληθε δίκης ζυγὸς, οὐδὲ νοεῖς δὲ
Α νδράσιν οὐχ ὁσίοις ψῆφον ὀφλισκάνων;
Ρ ήτηρ πιστεύῃ πυκινόφρονι, σῇ τε μερίμνῃ,
Π οικίλον αὐδήσας μῦθον ἐπισταμένῃ;
Ε λπίζων δ' ἔξεσθ' ἡμῖν δ' οὐκ οἶδεν ἀμείνω
Τ ῆς σῆς κλεμματικῆς παίγνια φαυλοσύνης.

Τοῦ αὐτοῦ.

Ρ ήτορα τοιοῦτόν φησιν αἰνὴν δείλαιος ἀπελθών,
Η ρετό μιν τίνος ἀμφὶ δικασσολίης.
Η μετέρη θεράπαινα φύλλ' ποτ' ἔτ' ἐν δέπαϊ βύρων,
Α λλοτρίῳ τ' ἐπὶ λάτριν ἐπισταμένη,
Ζ ώσεν ἑῷ θεράποντι· τέκεν δ' ὑπὸ παῖδας ἑκείνῳ.
Κ αὶ τίνι δουλοσύνῃ εἰσὶ δικαιότεροι;
Ο ς δ' ὅτε μερμήριξε, καὶ ἔδρακε βίβλον ἑκάστην,
Ε ἶπεν ἐπισφρίξας γυρὸν ἐπισκώπιον,
Η σοὶ, ἢ τῷ ἑλόντι τεκὼν θεράπαιναν ἀνάγκη
Δ ουλοσύνῃ κείνοις ὧν χάριν ἐξερέεις.
Δ ίζεο δ' ὀψομένοντα δικασσολον· ἦλθε δ' ἀοιδὴ
Ψ ῆφον ἀφοτέρῳ, εἴτε δίκαια λέγοις.

Τοῦ αὐτοῦ.

Θ αυμάζω μοι ἔπεισιν ὅπως βυτὸς ἐστὶ σοφιστὴς,
Μ ήτε λόγον κοινὸν, μήτε λογισμὸν ἔχων.

Τοῦ αὐτοῦ.

Θ ᾶττον ἐλαφρὸς λυκάων κέρκας, ταλαὸς τε χελώνας
Ε ὑρὺν, ἢ δόκιμον ῥήτορα καππαδόκην.

ΣΥΜΠΟΤΙΚΑ ΑΣΤΕΙΣΜΑΤΑ, ΧΞΔ μΖΔ

Αδέσποτον.

Η θελον αὖ πλουτεῖν ὡς πλούσιος ἐν ποτε κροῖσος,
Κ αὶ βασιλὰς ἐν τῆς μεγάλης ἀσίης·

Αλλ' ὅταν ἐμβλέψω νικάνδρεα τὸν Θερπηδόν,
Καὶ γλωσσοτὸς τί ποιῆ ζωῦτα τὰ γλωσσόκομα,
Ἀκλιὼ που πάσας, καὶ ταῖς κοτύλαις ἐπιβρέξας,
Τιὼ ἀσιάν πωλῶ σοὶς μύρα καὶ στεφάνοις.

ΝΙΚΑΡΧΟΥ.

Οὐδεὶς τὴν ἰδίαν συνεχῶς χρείδημε γυναῖκα.
Ἀινῶ δ' ἐκ ψυχῆς τερπόμενος δυάταν·
Οὕτως ἡ φύσις ὀρθὴ φιλόκτισος, ἀλλότριος χρεών·
Καὶ ζητεῖ δ' ἄλλην τὴν ξενοκυπάτιν.

Ἀδέσποτον.

Μὴ μύρα, μὴ στεφάνοις λιθίναις σπλάγχνοις χρείζου,
Μηδὲ τὸ πῦρ φλέξῃς εἰς κενὸν ἡδυπνοΐην.
Ζῶντί μοι εἴ τι θέλῃς, χάρισαι· τέφρῃ δ' μεθύσκων,
Γῆλθεν ποιήσῃς, κοὐκ ὀθνείων πίεται.

ΛΕΩΝΙΔΟΥ.

Μὴ πάλιμοι μὴ δόρπον, ὅτ' οὐκ ἔτι χαρτέρα πείθω,
Οὐθατα, καὶ χοίρων ἄρτι τιθῆς τεμάχη.
Οὐδὲ γὰρ ἐργοπόνοισι μὴ σάλπιγξ ὄρνιθος ἀκμῆος
Χρήσιμος, οὐ ναύταις ἐν λιμένι ζέφυρος.

ΑΛΚΑΙΟΥ.

Πίομαι ὦ λίθε κἄτι πολὺ πλέον ἢ πίε κύκλωψ,
Νηδὺς ἀνδρομέων πλησάμενος κρεάων.
Πίομαι· ὡς ὄφελόν γε δι' ἕγκατα ἔμπροσθ' ἀρύξας,
Βρέγμα φιλιππείης ὀξέπιον κεφαλῆς.
Ὅστε ἑταιρείοιο θοὰ κρητῆρι φόνοιο
Γεύσατ', ἐν ἀκρήτῳ φάρμακα χευάμενος.

ΑΒΒΙΑΝΟΥ.

Ἐλθὲς ὅπως ξενίαν κληθεὶς ὅτε κῶμός μοι ὕπνου,
Τύλη ἐπικλίνθω γοργόνος ἢ νιόβης.
Ἦν δ' ἐλθὼν μὴ ὕφηνεν, ἀπέστρισε δ' ἢ πελεκήσας·
Ἐκ τῶν λατομιῶν ἦλθε εἰς τὰ σοὰ κλοῦ.
Ἐξ ἧς εἰ μὴ θᾶττον ἐπηλθόμεν, σοὶ κλῖνος ἂν μοι
Τιὼ τύλιν σπλῖνα ἢ Θερὼ εἰργάσατο.

ΣΤΡΑΤΩΝΟΣ.

Καὶ πίνε καὶ τέρπου δημόκριτε· ἡδὺ γὰρ ἐς αἰεὶ
Γιγνόμεθ', οὐδ' αἰεὶ τέρψιος ἐξίεμεθα.
Καὶ στεφάνοις κεφαλὰς πυκασώμεθα, καὶ μυρίσωμεν
Αὐτούς, πρὶν τύμβοις ταῦτα φέρειν ἑτέρους.
Νῶν ἐν ἐμοὶ πιέτω μέθυ τοπλέον ὀστέα πάμα,
Νεκρὰ δὲ δὴ καὶ λίθων αὐτὰ καλὰ κλυσάτω.

ΑΝΤΙΠΑΤΡΟΥ ϑεπαλθ̄δ.

Φάγεθ' ὅσοι λέκκας, ἢ λοφυίδας, ἢ καμισήνας
Ἁδετε, ποιητῶν φῦλον ἀχαριτολόγων·
Οἵτ' ἐπέων κόσμον λελιγυσμένον ἀσκήσαντες,
Κρουνὸς ἐξ ἱερᾶς πίνετε λιτὸν ὕδωρ.
Σήμερον ἐκ χιλόχοιο καὶ ἐκ σενος ἦμαρ ὁμήσω
Σπενδόμενος· κρητὴρ οὐ δέχεθ' ὑδροπότας.

Τοῦ αὐτοῦ.

Ὦ ἑλικὼν βοιῶτε, σὺ μὴ ποτε πολλάκις ὕδωρ
Ἐκ πηγέων ἔβλυσας ἠσιόδῳ·
Νῶν δ' ἡμῖν ἔθ' ὁ κηΰεος ὁμώνυμος αὔσονα βάκχον
Οἰνοχοεῖ κρουνὸς ἐξ ἀμεθυμοτέρης.
Βαλίμιλλον δ' αὖ ἔγωγε πίσῃ τῷδε τόδε κύπελλον
Ἓν μόνον, ἢ τῷδε σοὶ χίλια πηγάσιδος.

ΑΓΟΛΛΩΝΙΔΟΥ.

Ὑπνώεις ὦ ἔπαρε, ὁ δὲ σκύφος αὐλὸν βοᾷ σε·
Ἔγρεο, μὴ τέρπου μοιρίδιον μελέτην.
Μὴ φείσῃ δίδωρε· λάβεσο δ' ἐς βάκχον ὀλιθὼν,
Ἄγρει· ὅτι σφαγερὸν ζωὸς πότει γόνατος.
Ἔστιν ὅτ' ἦν πόμεθα πολιὸς χρόνος· ἦμος ἔτ' εἰμὶ
Ἡ πολιὴ κροτάφων ἅπτεται ἡμετέρων.

ΑΡΓΕΝΤΑΡΙΟΥ.

Σὲ δὴ ὁμῶς ἀκρήτῳ μεμεθυσμένος· ἀλλὰ τίς ἆρα
Σῶσαί μ' ἐκ βερμίου γῆα σαλευόμενον;
Ὡς ἄδικον θεὸν ὄψεσθ', ὅθ' οἰώσεκεν αὐτὸς ἐγώ σε
Βάκχε φέρων, ὑπὸ σοῦ τοὔμπαλι πεφεύσομαι.

ΑΝΤΙΠΑΤΡΟΥ.

Οὔ μοι πλειάδων φοβερὴ δύσις, οὐδὲ θαλάσσης
Ὀρυμαγδὸν ὑφέλῳ κῦμα τοῦ σκοπέλῳ,
Οὐδ' ὅταν ἀστράπτῃ μέγας οὐρανὸς· ὡς κακὸν ἄνδρα
Ταρβῶ, καὶ μύθων μνήμονας ὑδροπόας.

ΟΝΕΣΤΟΥ.

Μούσης νουθετοῦσιν φιλοπαίγμονος οὖρετο βάκχος,
Ὦ σκῦλον, ἐν σοὶ κῶμον ἄγων ἥκειτον.
Δὴ γὰρ ἔλεγχον ἔχει γλυκερώτατον, ἔν τε γέλωτι
Κέντρον· χὠ μεθύων αὐτὸν ἐσωφρόνισεν.

ΦΙΛΙΠΠΟΥ.

Λάθριον ἁρπάσῃν σχολιὸν πόδα χιονὶ χορεύσας,
Ἀγλαΐς τῷ βεμβύλου βοτρυόπαιδα χάριν.
Δεσμεῖς δ' οὐχ ἡμᾶς, ὁ λέχεις δέ σε· τίς γὰρ ἔλυτο
Κιανὸν ὑπὸ κροτάφοις, μὴ κεφάσας βεμβύν;

ΟΝΕΣΤΟΥ.

Αὐτοτελὴς ἥδιστος ἀεὶ πότος· ὃς δὲ κ' ἀνάσχῃ,
Υβριστὴς οἴνῳ τ' ὄντι καὶ οἰνοπότης.
Τὸν μὲν γὰρ γαῖη τε φέρει κρύφα· τὸν δ' ὑπὸ γαίῃ
Πολλάκι τε λήθης ἤγαγε πικρὸν ὕδωρ.
Πολυμεθεῖς χαίροιτε· τὸ δ' ὅπασσον ἥδυ ποθεῦσαι
Μέτρον, ἐμοὶ πάσης ἄρχιον εὐφροσύνης.

ΑΥΤΟΜΕΔΟΝΤΟΣ κυζικηνοῦ.

Ἀνθρωποι, δείλης ὀψινομεῦντες ἐπ' ἠῶ δὲ γλίσχρως
Ὄρθρος, ἐπ' ἀλλήλοις ἥρες ἐγειρόμεθα.

ΑΝΑΚΡΕΟΝΤΟΣ.

Οὔ μοι μέλει γύγαο
Τοῦ σαρδίων ἄνακτος·
Οὔθ' ἁρπάζει με ζῆλος,
Οὐδὲ φθονοῦ τυράννοις.
Ἐμοὶ μέλει μύροισι
Καταβρέχειν ὑπήνην,
Ἐμοὶ μέλει ῥόδοισι
Καζαστέφειν κάρηνα.

Τὸ σήμερον μοῖρά μοι,
Τὸ δὴ αὔριον τίς οἶδε;

Τοῦ αὐτοῦ.

Τὸν ἀξύγυιον τορβύσας
Ἡ φαῖσέ μοι ποίησον,
Γ' ἀνοπλίαν μὴ οὐχί·
(Τί γὰρ μάχαιρα κἀμοί;)
Ποτήριον δὲ χεῖλον
Οσον δυὼ βάθυνον.
Γοίᾳ δέ μοι κατ' αὐτοῦ
Μηδ' ἄτρα, μηδ' ἀμάξας,
Μὴ ζυγὸν ὠδίνων·
Ἀλλ' ἀμπέλοις χλοώσας,
Καὶ βότρυας γλυκαίνας,
Σιὼ τῷ καλῷ λυαίῳ.

ΓΑΛΛΑΔΑ.

Γηραλέον με γυναῖκες ἀποσκώπτουσι, λέγουσαι
Εἰς ὃ κάκιστον ὁρᾶν λείψανον ἡλικίης.
Ἀλλ' ἐγὼ εἰ λύκος φορέω τρίχας, εἴτε μύγαινας,
Οὐκ ἀλέγω, βιότου τοῦτος τέλος ἐρχόμενος.
Εὐώδμοις δὲ μύροισι καὶ ὑπερανθέσι στεφάνοισι,
Καὶ βεβυμένῳ παύω φρενοπλάνους ἀγαλέας.

Τοῦ αὐτοῦ.

Δὸς πιέειν, ἵνα βάκχος ἀποσκεδάσω μερίμνας,
Ρηγμυλίας καθαρᾶς ὑπὲρ ἁλίοις φιάλαις.

Ἀδηλον.

Πῖνε, καὶ ὑφραίνου. τί γὰρ αὔριον, ἢ τί τὸ μέλλον,
Οὐδεὶς γιγνώσκει. μὴ τρέχε, μὴ σπεύδε.
Ὡς δυάσας χάρισαι, μετάδος, φάγε, σπεῦδε λογίζου.
Τὸ ζῆν τοῦ μὴ ζῆν οὐδὲν ὅλως ἀπέχει.
Πᾶς ὁ βίος τοιόσδε, ῥοπὴν μόνον αὖ τις ἑλάβῃ τις·
Ἂν δὲ θάνῃς, ἕτερος πάντα· σὺ δ' οὐδὲν ἔχεις.

ΑΓΑΘΙΟΥ ΣΧΟΛΑΣΤΙΚΟΥ.

Γαστέρα μὲν στοὰ λακίλοφρων δώδεκα βάκχῳ
Οἰνοπίων, ἔμπης δ' οὐκ ἀπέθηκε δέπας·
Ἀλλ' ἔτι δινῳῶν, ἰδίῃ κατεμέμφετο χειρὶ
Ὡς ἀπὸ κρητῆρος μηδὲν ἀφυσαμένῃ.
Οἱ δὲ νέοι ῥείζοισι, καὶ οὐ θένος οὐδ' ἀπ' ἀριθμοῦ
Τὰς κυλίκας γνῶναι τὰς ἔτι πινομένας.
Πῖνε γέρον, καὶ ζῆθι· μάτην δ' ἄρα θεῖος ὅμηρος
Τειρεσίαν πολιῷ οὐ νεότητος ἔφη.

ΜΑΚΕΔΟΝΙΟΥ.

Ἤθελον οὐ χρυσόν τε καὶ ἄσπετα μυρία γαίης,
Οὐδ' ὅσα τὰς θήβας εἶπεν Ὅμηρος ἔχειν,
Ἀλλ' ἵνα μοι ξηρόεσσα κύλιξ βλύσειε λυαίῳ,
Χείλεος ἀενάῳ ναματι λουομένου,
Καὶ γλαφυρὸν στεφέτην φίλων χορὸς· οἱ δὲ παρεῖσαν
Ἀνέρες ἐργατίνας κάμμορον ἐφ' ἡμερίσιν.
Οὗτος ἐμοὶ πολιὸς ὅλβος, ἀεὶ φίλος· οὐδ' ἀλεγίζω
Τῶν χρυσέων ὑπάτων, τὸν φιάλιον κατέχων.

Τοῦ αὐτοῦ.

Χαῦδοπόται, βασιλῆος ἀεθλητῆρες ἰάκχου,
Ἔργα κυπελλομάχου χεῖσομαι εἰλαπίνης,
Ἰκαρίου ἀπένδοντες ἀφυδέα δῶρα λυαίου.
Ἄλλοισιν μελέτω τερπολέμοιο γέρα,
Ἠὲ βόες, καὶ ἄροτρα, καὶ ἰσοδόμοι, καὶ ἐλέπτη,
Καὶ σάκος, ἁρπαλυμὴς ἵππια φερσεφόνης.
Εἴ ποτε δὲ σομάτεσσι βοὴν τινα βρῶσιν ἀνάγκη,
Ἀκαφὶς οἰνοπόταις ἄρκιος ἡ βεμμίου.

ΠΑΥΛΟΥ ΣΙΛΕΝΤΙΑΡΙΟΥ.

Σπείσομαι οἰνοποτῆρες ἐγρόμενοι γλώσσῃ λυαίῳ,
Ὡς σομαι ἀνδροφόνον φευγέτιδα ταῖς φιάλαις.
Σὶ δοκέω δ' ἀγραύλοις αἰὴρ βαρύμοχθος ἰδήοις
Γαστρὶ μιγαμπέπλου μητέρα φερσεφόνης.
Ταυροφόνων δ' ἀμέγαρτα χὴ αἱμαλέων κρέα δόρπων
Θηρσὶ καὶ οἰωνοῖς λείψομαι ὠμοβόροις.

Οσέα δ' αὖ νεπόδων ζαμεσίχροα χείλεσι φωτῶν
Εἴξατο οἷς ἀίδης φίλτερος ἠελίου.
Ἡ μὶν δ' ὀλβιόδωρον ἀεὶ μέθυ, καὶ βόσις ἔστω
Καὶ ποτόν· ἀμβροσίαν δ' ἄλλος ἔχειν ἐθέλοι.

ΜΑΚΕΔΟΝΙΟΥ ὑπάτου.

Χθιζὸν ἐμοὶ νοσέοντι παρίστατο δῖος ἀνὴρ
Ἰητὴς, δεπάων νέκταρ ἀπειπάμενος·
Εἶπε δ' ὕδωρ πῖναι αἰεμώλιος· οὐδὲ ἐδιδάχθη
Οἶνος μεθύπτων οἶνον ὁ μηδὲ ἔφη.

ΠΑΛΛΑΔΑ.

Πᾶσι θανὼν μεθύουσιν ὀφείλεται, οὐδὲ τίς ἐστὶν
Ἄξιον εἰ ζήσῃ, θνητὸς ὑπισάμενος.
Τοῦτο σαφὼς ἄνθρωπε μαθὼν, σὺ φρόνει σεαυτὸν,
Λήθην τὸ θανάτου τὸν βεβιωμὸν κατέχων.
Τέρπεο, καὶ σκίρτα, τὸν ἐφημέριον βίον ἕλκων·
Τἄλλα ὑπὸ πρώτα τύχῃ τοξεύματα δὸς διέπειν.

ΜΑΚΕΔΟΝΙΟΥ ὑπάτου.

Ἀνέρες οἵσι μέμηλεν ἀπήμονος ὄργια βάκχου,
Ἐλπίσιν ἡμείδων ῥίψατε τὴν πενίην.
Ἀὐτὰρ ἐμοὶ κρητὴρ μὺθος ἔοι δέπας. ἀὐγὴ δὲ, λιτὸς,
Ἀὐγὴ πῖδος, λιπαρῆς ἔνδοθεν ὀφθαλμός.
Ἀὐτίκα δ' ἡμετέροιο πιὼν κρητῆρος λυαίου,
Παμποίκιλα φράσομαι μῦθον ἐθέλω.
Οὐ δόμεω ὑπὸ θάλασσαν ἀμείλιχον, οὐδὲ κεραυνοὺς,
Γῆθεν ἀταρβήτου θάρσος ἔχων βεβιοῦ.

ΑΓΑΘΙΟΥ σχολαστικοῦ.

Ἡμεῖς μὺθ' πατέοντες ἀπείρονα καρπὸν ἀκάχου,
Ἀμμιγα βακχευτὶ ῥυθμὸν ἀνεπλέκομεν·
Ἡδὺ δ' ἄασεν οἶδμα κατέρρεεν· οἷα δὲ λέμβοι,
Κισσύβια γλυκερῶν νήχετ' ἀφ' ὑγρὸν ῥοθίων·
Οἷσιν χρυσοκάρηνοι, ἑέδειν ποτὸν ἰὼ μῦθ' ἤδη,
Θερμῶν νηϊάδων οὐ μάλα δολόμυθοι.
Ἦ καλὴ ποτὶ λίμνην ὑγροκύπουσα ῥοδόφθη
Μαρμαρυγῇ κάλλους νᾶμα κατηγλάϊσεν.

Γ αὐτων δ' ἐκδεδόνλωτο θοαὶ φρένες, οὐδέ τις ἡμέων
Η εν ὃς οὐ βάκχῳ δάμνατο καὶ πᾶφίῃ.
Τ λήμονες· ἀλλ' ὁ μὲ εἶρπε πρὰ ποσὶν ἄφθονος ἡμῖν,
Τ ῆς δ' αὖ' ὑπ' ἐλπωρῇ μοιῶον ἐπαιζόμεθα.

Αδηλον, οἱ δὲ ΠΑΛΛΑΔΑ.

Ο ὐδὲν ἀμῆρτήσας, ἠμόμλιν ὧδέ τ' με τεχόντων·
Γ εννηθεὶς δ' ὁ πάλας ἔρχομαι εἰς ἀίδλω.
Ω μίξις ἠμεων θανατηφόρος· ὤμοι ἀνάγκης
Η με τοσσπελάσας τῷ ζυγρῷ θανάτῳ.
Ο ὐδὲν ἐών, ἠμόμην· πάλιν ἔσομαι ὡς πάρος, οὐδέν.
Ο ὐδὲν καὶ μηδὲν τῷ μερόπων ὁ ἠύος.

Λ οιπόν μοι ὁ κύπελλον ἀποσίλβωσον ἑταῖρε,
Κ αὶ λύπης λήθλω τὸν βέμιον πύρεχε.

ΑΡΓΕΝΤΑΡΙΟΥ.

Α ρχαίη σιώδυπνε, καὶ πλικὰ μέτρα φιλθῦσα,
Ε ὖλαλε, τρηὺ ἠλωσ, ὕσμε, μακροφάρυγξ,
Α ἰὲν ἐμῆς πενίης βεκχυσύμβολε, μυσιλάγμνε,
Η λθες ὅμως ἐμλὶ χειρὶ ποτε χρόνιος.
Α ἰθ' ὄφελες καὶ ἄμικλος αὐρμφθυτός τε πύδναι,
Α φθονος, ὡς κούρη τοῖς πόσιν ἐρχομλύῃ.

Αδηλον.

Τ αὐπᾶλος οὐδὲν ἔτεσσε· πνεματομλύων δ' ὑπὸ θυμὸν
Κ αρπὸς ὑπ' κεφαλῆς αὐτὸν ἔφυσε φυτῶν.
Κ αὶ ταῦτά τοι ξυφῆς κεχεριμλύος, ἦπιον ἐδίψα.
Ε ἰ δὲ καὶ ἐπεσωλμ σῦκα πεπαινόμλυα,
Κ αὶ βεκβίλοις, ἠ μῆλα, τί τηλίκον αὐδράσι νε-
Δ ῖμος ἀπὸ χλωρῶν γίγνεται ἀκροδρύων; (κροῖς
Η μεῖς δ' ἐαθιομλυ κεκλημλύοι ἁλμυρὰ πώματα,
Χ έννια, καὶ τυρούς, χλιὸς ἁλιτὰ λίπη,
Ο ρνια, καὶ μόσχα· μίαν δ' ὑπεπίνομλυ αὐλῖς·
Γ άρομλυ οὐκοῦν σευ τὰ πάλε πικρότερα.

Αδέσποτον.

Α νθεφποις ὀλίγος μλὺ ὁ πᾶς χρόνος ὃν ποτε δῴλει
Ζ ῶμλυ, κὴν πολιὸν γῆρας ἅπασι μλύῃ.

Τῆς δ' ἀκμῆς ἢ μᾶλλον. ὅτ' ἦν χρόνος ὥριος ἡμῖν,
Πάντα χύδην ἔστω, ψαλμός, ἔρως, ποσπόσις.
Χθιζὸν ζωὸν τεῦθεν, γήρως βάρος· οὐδὲ δέκα μηνῶν
εἶσθ'. τοιαύτη σ' οὐκ δέχετ' ὀρχηστύς.

Ἀδηλον, οἱ δὲ ΓΑΛΑΔΑ.

Πῶς ἁλόμην; πόθεν εἰμί; τίνος χάριν ἦλθον; ἀπελθεῖν.
Πῶς δυνάμαι τί μαθεῖν, μηδὲν ὑπισάρμυος;
Οὐδέν' ἐών, ἁλόμην· πάλιν ἔσομαι ὡς πάρος ἦα.
Οὐδὲν καὶ μηδὲν τῶν μερόπων ὁ βίος.
Ἀλλά σύ μοι βάκχοιο φιλήδονον ἔντυνε νᾶμα.
Τοῦτο γάρ ἐστι καλῶν φάρμακον ἀντίδοτον.

ΝΙΚΑΡΧΟΥ.

Ἑρμᾶϊ, σοὶ μὲν ἀφειδίως ἐξ ὠρέων οἴνου
Ἄϊρον, ποσχόμενος πένθος ἔθηκε μέγα.
Οἶνος καὶ κένωσεν ἀπώλεσεν, ὡς ὄφελεν δὲ
Ἡμᾶς· νῦν δ' ἡμεῖς τοῦτον ἀπωλέσαμεν.

ΓΑΡΜΕΝΙΩΝΟΣ.

Ὅστις ἔσω πυρὸς καταλαμβάνῃ οὐκ ἀγρεάζων,
Κείνου ἀμαλθείας ἡ γυνὴ ἐστὶ κέρας.

ΛΟΥΚΙΑΝΟΥ.

Τὸν τοῦ διπναρίου νόμον οἴδατε· σήμερον ὑμᾶς
Αὐλεῖ καλῶ καινοῖς δόγμασι συμποσίου.
Οὐ μυθοποιὸς ἐρῶ κατακείμενος· ὅτε πρέξῃς,
Οὗθ' ἕξῃ, τοὺς ποιήματα γραμματικά.

Ἀδηλον.

Ἦν σέφανος πῶϊος, καὶ παῖς ἅμα· νῦν δ' ὁ μὲν ἔρρει,
Γηραλέος, καὶ γεγήρηκ' οὐδὲ φιλοσέφανος,
Τέσσαρα δ' ὧδε ποιήσω σεφάνῳ καλὰ γράμματα πρόσθεν
Ἔσται δ' εἰς ὥρας ἱππασκαπιπαιδίας,
Ἡδὺ τὸ ἀπαπάλιν, δεινυσιοπηγανόδωρος·
Ἐν δ' ἀστρονομίῃ πρωτὶ μολὼν σέφανος.

Ἀδηλον.

Ὦ κίμορες, μὲ λέγουσι δαίμονες ἀνέρες ἄστρων·
Εἰμὶ μὲν, ἀλλ' οὐ μοι τοῦτο σέλδεται μέλει.

Εἰς ἀΐδην πάντεσσι καταίβασις· εἰ δὲ τάχιον
Ἡ μετέρη, μίνῳ θᾶσσον ἐποψόμεθα.
Πίνωμεν. καὶ γὰρ δὴ ἐτήτυμον, εἰς ὁδὸν ἵππος
Οἶνος· ἐπεὶ πεζοῖς ἀτραπὸς εἰς ἀΐδην.

Ἄδηλον.

Πέντε θανὼν κείσῃ κατέχων πόδας· οὐδὲ τὰ τερπνὰ
Ζωῆς, οὐδ' αὐγὰς ὄψεαι ἠελίου.
Ὥστε λαβὼν βάκχου ζωρὸν δέπας ἕλκε γεγηθὼς
Κίγκιε, καλλίστην ἀγκὰς ἔχων ἄλοχον.
Εἰ δέ σοι ἀθάνατος σοφίης νόος, ἴσθι κλεανθῆς
Καὶ ζηνῶν ἀΐδην τὸν βαθὺν ὡς ἔμολον.

Ἄδηλον.

Ἡ πτωχῶν χαρίεσσα πανοπλίη ἀστολάγυνος
Αὕτη, καὶ δροσερῶν ἐκ πετάλων στέφανος,
Καὶ τοῦτο φθιμένοιο προάστιον ἱερὸν ὀστεῦν,
Ἐγκεφάλου ψυχῆς φρούριον ἀκρότατον,
Πῖνε, λέγει τὸ γλύμμα, καὶ ἔσθιε, καὶ περίκεισο
Ἄνθεα. τοιοῦτοι γιγνόμεθ' ἐξαπίνης.

Ἀδέσποτον.

Ἐχθές μοι συνέπινε γυνὴ περὶ ἧς λόγος ἔρρει
Οὐχ ὑγιής· παῖδες θραύσατε τὰς κύλικας.

Ἄδηλον.

Ἑπτὰ τριηκόντεσσιν ἐπέρχονται λυκάβαντες
Ἤδη μοι βιότου σχιζόμεναι σελίδες.

Ξαθίππης συνετῆς ἄγγελοι ἡλικίης.
Ἀλλ' ἔτι μοι ψαλμός τε λάλος κῶμοί τε μέλονται,
Καὶ πῦρ ἀπλήστῳ τύφετ' ἐνὶ κραδίῃ.

Ἄδηλον.

Δός μοι τοὐκ γαίης πεπονημένον ἁδὺ κύπελλον,
Ἃς γενόμην, καὶ ὑφ' ᾧ κείσομ' ἀποφθίμενος.

Ἄδηλον.

Βάκχου μέτρον ἄριστον, ὃ μὴ πολὺ, μηδ' ἐλάχιστον.
Ἔστι γὰρ ἢ λύπης αἴτιος, ἢ μανίης.

Χ αἰρε κιρνάμβυος τειοὶ νύμφαις τέρπατος αὐτός·
Τ ῆμος καὶ θαλάμοις ὅστις ἑτοιμότατος.
Ε ἰ δὲ πολὺς πυθοίσεν, ἀπέρασσαι μὴ ἔρωτα,
Β απίζεται δ' ὕπνῳ λείπνι τὸ θανάτου.

ΕΙΣ ΤΟΛΜΗΡΟΥΣ, καὶ μὴ ΠΑΛΛΑΔΑ.

Μ ηδὲν ἄγαν, τῷ ἐπὶ σοφὸν ὁ σοφώτατος εἶπεν·
Α λλὰ σὺ μὴ πειθεὶς γέροντι, τὸ τ' ἔπαθες.
Κ αὶ λόγιος ὢν ἐὼν, ἀλογώτατον ἔσχες ὀνείδος,
Ω ς ὀπτὴν μήσας οὐρανίης ἀοιδου.
Ο ὕτω πήγασος ἵππος ἀπώλεσε βελλεροφόντιν,
Β ουληθέντα μαθεῖν ἀτροπέτους κανόνας.
Α λ' ὁ μὲν, ἵππον ἔχων, καὶ θαρσαλέον θένος ἥβης·
Γ έρων, σοὶ δὲ χρὴν δοῦπον ἦτορ ἔχων.

Τοῦ αὐτοῦ.

Μ ηδεὶς ζητήσῃ μερόπων ποτὲ καὶ θεὸς εἶναι,
Μ ηδ' ἔρχῃς μεγάλης κόμπον ὑπερφίαλον.
Γ έρων αὐτὸς ἔδειξε· κατιωχθὴ γὰρ ἑπόρθεις,
Θ νητῆς δύτυχίης μηδὲν ἀναχόμενος.
Ω ἦμος ἀνθεφόπων ἀνεμώλιον, ἀβληχόλωτον,
Μ έχρι τέλους βιότου μηδὲν ὀπιζόμενον.

Τοῦ αὐτοῦ.

Γ έροντ' ὡς ὤνόησεν ὁ βάκχελος ἄρτι θανόντα,
Χ ωλεύοντα πλέον, ζωὸν ἔλεξεν ἔπος,
Γ έρον, πῶς, τί παθὼν κατέβης δόμον εἰς ἀΐδαο,
Γ υμνὸς, ἀκήδεστος, ἄχθεα καμνοτάφῳ;
Τ ὸν δὲ μέτ' ὀχθήσας ὑποφώνεε γέροντος ὑὸς,
Β άκχαλε, ὃς τρίτος καὶ θανάτου πρόσθεν.

Τοῦ αὐτοῦ.

Ο ἱ δύο καλχήντες τὸν γέροντα ὤλεσαν ὄρκοις,
Τ ὸν μεγάλων ὑπάτων θῶκον ὑποσχόμενοι.

Τοῦ αὐτοῦ.

Τ ὼ ἀμμωνιακὴν ἀπάτην ὅτε γέροντος ἔγνω,
Τ οῦ ξενικοῦ θανάτου ἐκ τύθεν ἐρχόμενος,

Τὴν ἰδίην γνώμην κατεμέμψατο, καὶ τὸ μάθημα,
Καὶ τοὺς πειθομένους ἀστρολόγοις ἀλόγοις.

ΕΙΣ ΥΒΡΙΣΤΑΣ,

κετὰ μθ̄ς

Τοῦ αὐτοῦ ΓΑΛΛΑΔΑ.

Υβρίζεις; τί τὸ θαῦμα; τί δυσχερές; ἀλλὰ φέρω σε.
Τῶν γὰρ ὑβριζόντων ἡ θρασύτης κόλασις.

Τοῦ αὐτοῦ.

Πολλὰ λαλεῖς ἄνθρωπε, χαμαὶ δὲ τίθῃ μετὰ μικρόν·
Σίγα, καὶ μελέτα ζῶν ἔτι τὸν θάνατον.

Τοῦ αὐτοῦ.

Ἥλιος ἀνθρώποις αὐγῆς θεός· εἰ δὲ καὶ αὐτὸς
Ὑβρίζεν φαίνων, οὐδὲ τὸ φῶς ἐπόθουν.

Τοῦ αὐτοῦ.

Οὐκ ἐμὲ, τὴν πενίην δὲ καθύβρισας· εἰ δὲ καὶ ὁ Ζεὺς
Ἦν ἐπὶ γῆς πτωχὸς, κ' αὐτὸς ἔπασχεν ὕβριν.

Τοῦ αὐτοῦ.

Εἰ πένομαι, τί πάθω; τί με μισεῖς οὐκ ἀδικοῦντα;
Γταῖσμα τόδ' ἐστὶ τύχης, οὐκ ἀδίκημα τρόπων.

Τοῦ αὐτοῦ.

Αἰνίζειν μὲν ἄριστον, ὁ δὲ ψόγος ἔχθεος ἀρχή·
Ἀλλὰ καλῶς εἰπεῖν, ἀττικόν ἐστι μέλι.

Τοῦ αὐτοῦ.

Τῷ πτισάνην πωλοῦντι τὸ κελλίον ἐχθὲς ἔδωκα,
Καὶ φοβερὸν πύκτην σήμερον εὗρον ἔσω.
Ὡς δ' ἔλεγον, σὺ τίς εἶ; πόθεν ἤλυθες ἡμέτερον δῶ;
Πυγμαχίης κατ' ἐμοῦ χεῖρας ἀνέσχεν ἄνω.
Ψύττα δ' ἐγὼ κατέτεινα, φοβεύμους ἄγριον ἄνδρα,
Τὸν πτισάνην πύκτην ἐξαπίνης ὁρόων.
Ἀλλά σε πρὸς πύκτου πολυδεύκεος ἠδὲ καὶ αὐτοῦ
Κάστορος ἱκνοῦμαι, καὶ διὸς ἱκεσίου,
Τὸν πύκτην ἀπόκρουσον ἐμὸν χόλον. οὐ δυνάμαι γὰρ
Πυκτεύειν καθάπαξ μηνὸς ἐπερχομένου.

ΕΙΣ ΦΕΙΔΩΛΟΥΣ,

κετ' ντ

ΛΟΥΚΙΛΛΙΟΥ.

Οὐ γλήχωνι κρίτων ὁ φιλάργυρος ἀλλὰ διχάλκῳ
Αὐτὸν ἀποσφραίνει, θλιβομένου στομάχου.

Αδηλον.

Πλουτεῖν φασί σε πάντες, ἐγὼ δέ σε φημὶ πένεσθαι.
Χρῆσις γὰρ, πλούτου μάρτυς, ἀπολλόφανες.
Αν μετέχῃς αὐτῶν σύ, σὰ γίγνεται· ἂν δὲ φυλάττῃς
Κληρονόμοις, ἀπὸ νῦν γίγνεται ἀλλότρια.

ΑΝΤΙΦΑΝΟΥΣ.

Ψηφίζεις κακόδαιμον· ὁ δὲ χρόνος ὡς τόκον, οὕτω
Καὶ πολιὸν τίκτει γῆρας ἐπαρχόμενον.
Κοὔτε πιὼν, οὔτ' ἄνθος ἐπὶ κροτάφοις ἀναδήσας,
Οὐ μύρον, οὐ γλαφυρὸν γνοὺς τι μαγισμάτιον,
Τεθνήξῃ, πλουτοῦσαν ἀφεὶς μεγάλην διαθήκην,
Εκ πολλῶν ὀβολῶν μοῦνον ἐνεγκάμενος.

ΠΩΛΙΑΝΟΥ.

Χαλκὸν ἔχων, πῶς οὐδὲν ἔχεις, μάθε. πάντα δανείζεις·
Οὕτως οὐδὲν ἔχεις αὐτὸς, ἵν' ἄλλος ἔχῃ.

ΝΙΚΑΝΔΡΟΥ.

Εχθὲς ἀπάγχεσθαι μαλίων δείναρχος ὁ φείδων
Γλαῦκε, δι' ἓξ χαλκοὺς δύσμορος οὐκ ἔθανεν.
Εξ χαλκῶν ἦν γὰρ τὸ σχοινίον· ἀλλ' ἐδυσώνει,
Εὔωνον ζητῶν ἄλλον ἴσως θάνατον.
Τοῦτο φιλαργυρίας δεινῆς ὅρος, ὅστ' ἀποθνήσκων,
Γλαῦκε, δι' ἓξ χαλκοὺς δύσμορος οὐκ ἔθανεν.

Τοῦ αὐτοῦ.

Δακρύει φείδων ὁ φιλάργυρος οὐχ ὅτι θνήσκει,
Αλλ' ὅτι πέντε μνῶν τὴν σορὸν ἐπρίατο.
Ταῦτ' αὐτῷ χαρίσασθε· καὶ ὡς τόπος ἐστὶν ἐν αὐτῇ,
Τῶν πολλῶν τεκνίων ἕν τι προσεμβάλετε.

ΛΟΥΚΙΛΛΙΟΥ.

Θνήσκων ἑρμοκράτης ὁ φιλάργυρος, ὃν ἀφθήκατο
Αὐτὸν τῶν ἰδίων ἔγραφε κληρονόμον.
Ψηφίζων δ' ἀνέκειτο πόσον δώσῃ διεγρθεὶς
Ἡδοῖς μισθοῦ, καὶ τί νοσῶν δαπάνᾳ·
Ὡς δ' ὀβολὸν πλείω δραχμὴν μίαν, ὦ φίλε σωθῇ,
Λοιτὸν ἐθνήσκειν, εἶπε· καὶ ἐξετάθη.
Κεῖτο δὲ τἀδέν' ὤδολον ὀβολοῦ πλέον· οἱ δὲ τὰ κείνου
Χρήματα κληρονόμοι ἥρπασαν ἀσπασίως.

Τοῦ αὐτοῦ.

Γενιηθὲν τὸ τέκνον κατεπόνισεν αὖλις ὁ κνιπός,
Ψηφίζων αὐτοῦ ἑξομβρίου δαπάνας.

Τοῦ αὐτοῦ.

Εἰ τὸ μὴ ὀκνδεδμώχας, ὁ δ' ἐρεῖ τι δίδως, ὁ δὲ μωμῇς,
Οὐδέποτ' εἰ τοῦ σοῦ κύριος ἐργυρίου.

ΓΑΛΛΑΔΑ.

Ὦ τῆς ταχίστης ἐρημίης τῆς τοῦ βίου,
Ἀνὴρ δημήτης, τῶν χρόνων γλύφων τόκους,
Τέθνηκεν οὔθυς ἐν ῥοπῆς καιρῷ βραχεῖ,
Ἐν δακτύλοισι τοὺς τόκους σφίγξων ἔτι.

Τοῦ αὐτοῦ.

Δακτυλικὴν ψῆφόν τις ἔχων τοῦ δακτύλου χρόνων,
Ψήφῳ τοῦ θανάτου προεβλάβεν εἰς ἄιδου.
Ζῇ δ' ἡ ψῆφος νεῦ τοῦ ψηφίζοντος ἑαυτήν,
Ψυχῆς ἐρημίης ἔνθεν ἐλαυνομένης.

Τοῦ αὐτοῦ.

Πλοῦτον μὲν πλουτοῦντος ἔχεις, ψυχὴν δὲ πένητος.
Ὦ τοῖς κληρονόμοις πλούσιε, σοὶ δὲ πένης.

ΛΟΥΚΙΛΛΙΟΥ.

Θρασύμαχε, πλεῖστον πολὺν ὤλεσας ἐξ ὀβολοῦ λῆς,
Εἰς τἀδὲν δ' ἥκεις ἄθλιος ἐξαπίνης,
Φθαμένος, δημίσας, τοκίσας τόκον, ὑδροποτήσας·
Πολλάκι μηδὲ φαγών, ὥστε τι πλέον ἔχειν.
Ἀλλ' εἴ μοι λογίσαιο τὸ πάντα καὶ τότε καὶ νεῦ,
Οὐδὲν ἔλαττον ἔχεις ὧν τότ' ἔδοξας ἔχειν.

ΑΥΤΟΜΕΔΟΝΤΟΣ.

Ε ἆθες δ᾽ὑπνήσας τρέγεον πόδα, καὶ δεκατᾶῖον
Κ αννα βίνης κρέμβης μήλινον ἀσσάρεον,
Ε ἰπεῖν τὸν καλέσαντα Φυλάσσομαι. ἔστι γὰρ ὀξύς·
Κ αὶ φόβος οὐχ ὁ τυχὼν μή με πάλιν καλέσῃ.

ΜΑΚΕΔΟΝΙΟΥ ὑπάτου.

Φ ειδωλός τις ἀνὴρ, ἀφόων ἐμεσαυρὸν ὀνείρῳ,
Η λθ᾽ ἀποθνήσκων, πλούσιον ὕπνον ἔχων·
Ω ς δ᾽ ἴδε τὸ σωτήριον, ἔκιδνεν μὴ κέρδος ὀνείρου,
Ε ξ ὕπνου πενίῃ, αὖτις ἀφυδε πάλιν.

Τοῦ αὐτοῦ.

Π αῖτες ἅπαξ τρώγουσιν ὅταν δὲ τρέφῃ Σαλαμῖνος,
Ο ἰκασὶ χρισῶμαι δεύτερον ἐρχόμενοι.

ΑΜΜΙΑΝΟΥ.

Ω ς κῆπον τεθυκώς, δεῖπνον προέθηκεν ἀπέλλης,
Ο ἰόμενος βόσκειν αὖτις φίλων σώματα.
Η ν ῥαφανὶς, σέρις ἦν, τῆλις, θρίδακες, σφάσα, βολβοί,
Ω κυμον, ἡδύοσμον, πήγανον, ἀσσάρεον. (ἐμοὶ,
Δ είσας δ᾽ οὐ τούτων μὴ καὶ χόρτον σώσαιτό μοι,
Δ ειπνήσας θέρμοις ἡμιβρεχεῖς ἔφυγον.

ΛΟΥΚΙΛΛΙΟΥ.

Π οιήσας δαπανῶν ἐν ὕπνοις ὁ φιλάργυρος ἕρμων,
Ε κ σωφροσύνης αὐτὸν ἀπηγχόνισεν.

Εἰς εἰκόνα ἀναξάνδρου βασιλέως
ἐν τῷ θυείπῳ.

Ε ἰκόνα σὶ βασιλεῦ κοσμοφθόρε τλῶδε σιδήρου
Α νθεσαν, ὡς χαλκοῦ πολλὸν ἀπημοτέρῳ,
Α ντὶ φόνου, πενίης τ᾽ ὀλοῆς, λιμοῦ τε, καὶ ὀργῆς,
Ο ἷς πολίτας φθείρᾳς ἐν φιλοχρημοσύνῃς.

Εἰς Σ᾽ αὖθις.

Ε γλύθη τῆς σκύλλης χαλεπὴν ἐφήσαντο χάρυβδιν,
Α χθος ὠμηστὴν τὸν ἀναξάνδρου.
Δ είδιθι καὶ σὺ σκύλλα τεαῖς φρεσὶ, μή σε καὶ αὖτις
Β ρώξῃ, χαλκείου δαίμονα κερματίσας.

ΛΟΥΚΙΛΛΙΟΥ.

Εἰ μὲν ζῆς ἐλαφοῦ τὸ μαὸν χρόνον, ἢ κορώνης,
Συγνώμη πλέξον πλοῦτον ἀγλεομύθῳ·
Εἰ δέ τις ἐστὶ βροτῶν οἷς αὐτίκα γῆρας ἰάπτει,
Μή σέ γ' ἀπειρεσίων οἶστρος ἕλῃ κλεακῶν.
Μὴ σὺ μὲν ἀπλήτοισιν ἐν ἄλγεσι θυμὸν ὀλέσσῃς,
Χρήσωνται δ' ἄλλοι σοῖς ἀγαθοῖς αἰέδλῳ.

Τοῦ αὐτοῦ.

Μῶ ἀσκληπιάδης ὁ φιλάργυρος εἶδεν ἐν οἴκῳ,
Καί, τί ποιεῖς, φησίν, φίλτατε μοῦ πρὸ ἐμοί;
Ἡδὺ δ' ὁ μοῦς γελάσας, μηδὲν φίλε, φησί, φοβηθῇς·
Οὐχὶ σοφῆς σοὶ δὰ χρήζομεν, ἀλλὰ μονῆς.

Ἀδήλου.

Ἀργυρέῃ λιμῷ τις, ἐς εἰλαπίνην με καλέσας,
Ἐκλαυε, πεινώντας τοὺς πίνακας φορέων.
Ὀθνείοις δ' ἔφην ἐν ἀργυροφεγγεῖ λιμῷ,
Τοῦ μοι χορτάσιν ὀστρακίνων πινάκων;

Εἰς τὸ αὐτό.

Ἐξήτουν πινάκων πόθεν οἴωμα τῶνδε καλέσω.
Καὶ δὰ σοὶ κλητεῖς, δοῦλον ὅθεν λέγεται.
Εἶπας γὰρ μεγάλης μεγάλους πίνακας προθήκας,
Ὀργανα τοῦ λιμοῦ πεινώντας πίνακας.

Εἰς τὸ αὐτό.

Μή με κάλει δίσκων ὑπὲρ ὀργυρέων λιμοφορήων,
Βρωτιόν μοι φορέων τὸν κολοκυνθάδα.
Ἀργυρέῳ ὕλῃ οὐ πεινῶντι μύθῳ δὰ καλοῦμαι,
Λιμῷ κρημνίζων τοὺς μύθεους πίνακας.
Ζήτει νηστεύοντας ἐς ἀργαλέην ὑποδοχήν,
Καὶ τότε θαυμάσῃ, κοῦφον ἄσημον ἔχων.

Ἀδήλου.

Πολλὰς μυελάδας φησὶ ζῆτε μίδωρος,
Καὶ μηδὲν δαπανῶν, ζῇ βίον ἡμιόνων,
Πολλάκις αἰ χρυσοῦ πιμελέα φόρτον ἔχουσαι
Πολλὸν ὑπὲρ νώτου, χόρτον ἔδουσι μόνον.

ΕΙΣ ΦΘΟΝΕΡΟΥΣ, ϰξζ ναζ

ΛΟΥΚΙΛΛΙΟΥ.

Μ ακροτέρῳ ϛαυρῷ ϛαυροῦμενον ἄλλον ἑαυτοῦ
Ο φθονερὸς δρᾶφων ἐγλεῖ ἰδὼν ἑτάκη.

ΕΙΣ ΦΙΛΟΣΟΦΟΥΣ, ϰξζ νβζ

ΛΟΥΚΙΛΛΙΟΥ.

Ε ἶναι μὲν κυνικὸν σε μὲν ἐϛρατῆ, καὶ νοῦν πόδητον,
Κ αὶ ῥιγοῦν, ὁππόθεὶς αὐτὸν ἐλέγχῃ καθόλου·
Α ν δὲ πλαπάζῃς ἄρτοις ἢ κλάσματ' αἰσχρῶς,
Κ αὶ γὼ ῥάβδον ἔχω, καὶ σὲ λέγουσι κύνα.

Τοῦ αὐτοῦ.

Π ᾶς ὅς οὐ γ' ἦ πωγὼν ϲ' ἀγράμματος, οὐκ ἔτ' ἀγήθῃ,
Ω ς ϲωφρὼν, οὐδ' ἄρῃ φορτία μαθαείου·
Α λλὰ τρέφε πώγωνα, καὶ ὐκ τελόδου ξύλον ἄρας,
Τ ῆς ἀρετῆς εἶναι φησὶν ὁ τραγοτοκύων.
Ε ρμοδότου τόδε δόγμα· Ὃ πώγωσοφον· εἴ τις ἀχαλκεῖ,
Μ ηκέτι πειναάτω, θεὶς Ὃ χιτωνάριον.

ΑΜΜΙΑΝΟΥ.

Ο ὗτος ὁ τῆς ἀρετῆς ἀδάμας βαρὺς, οὗτ' ὁ πωγὼν
Π ᾶσιν ὑπερπλήσων, οὗτ' ὁ ῥιγομάχας,
Κ αὶ πώγωνα τρέφων, ἐάλω· τί γάρ; ἀτρεπὲς εἰπεῖν·
Α λλ' ἐάλω ποιῶν ἔργα κακοσμάχων.

Τοῦ αὐτοῦ.

Ο ἵᾳ τὸν πώγωνα φρενῶν ποιητικὸν εἶναι,
Κ αὶ δοκεῖ τοῦτο τρέφε φίλτατε μυσοσόφων·
Κ ἄφρον, ἐμοὶ πειθεὶς, ϲαχέως. οὗτ' γὰρ ὁ πώγων,
Φ θειρῶν ποιητὴς, οὐχὶ φρενῶν γέγονεν.

Τοῦ αὐτοῦ.

Ω ' γαθὲ, καὶ μῶν οὖν, καὶ ποῖ δὴ, καὶ πόθεν ὦ τοῦ,
Κ αὶ θαμὰ, καὶ φέρε δὴ, καὶ κομιδῆ, καὶ ἴθι,
Κ αὶ σόλιον, μάλιον, πωγώνιον, ἄμιον ἔξω,
Ε κ τούτων ἡνῶ βύδοκιμεῖ ϲοφία.

ΑΝΤΙΠΑΤΡΟΥ.

Αἰάζ᾽ πόρη τε καὶ ἡ φάκελδον ἄριστον
Βειθυσινωπίτου δεξιλώδες ῥόπαλον,
Καὶ ὃ χάλκω ῥυπόωντι πίνῳ πεπαλαγμένον ἔαθος,
Διπλάσιον χρυσῶν ἀντίπαλον νικάδων,
Οἳ τοι τεοῖς ὤμοισι μαίνεται· ἰὼ γὰρ ὁ μάχος,
Οὐράνιος· σὺ δ᾽ ἔφις οὐκ ἀσπίδι σῇσι κύων.
Ἀλλὰ μέθες, μέθες ὅπλα τὰ μὴ σέθεν· ἀλλο λεόντων,
Ἄλλο γλυφιτῶν ἔργον ὄρωρε τεράων.

ΠΑΛΛΑΔΑ εἰς Θεμίστιον τὸν φιλόσοφον, γλυπτὸν ὑπάρχον κωνσταντινουπόλεως, ὅτι οὐδενὶ ἀνδρὶ καὶ οὐ ἀλεντῶς.

Ἀντυγος οὐρανίης ἐπιφρήμνος, ἐς πόδον ἦλθες
Ἀντυγος ἀργυρέης, αἰχμὴ ἀπειρέσιον.
Ἦ θαῦ ποτε χρείαντων, ἀοῦτις δ᾽ ἐγλύου πολὺ χείρων·
Δοῦρ᾽ ἀναδῆλ καὶ τὸν νεῶν γὰρ ἄνω κατέβης.

Τοῦ αὐτοῦ.

Εἰ ὃ τρέφυν πώγωνα δοκεῖ σοφίαν τεκμαίρειν,
Καὶ τράγος βὺ πώγων, βύσολος ὅστις πλατῶν.

Τοῦ αὐτοῦ.

Ἄλλον ἀριστοτέλειον, νικήτρατον, ἰσοπλάτωνα,
Σκινδαλμοφεναξὴν ἀμφυτάτης Θρίνης,
Τοῖα περὶ ψυχῆς τις ἀείρετο, πῶς θέμις εἰπεῖν;
Τὶ ὦ ψυχοὶ θνητοὶ, ἢ πάλιν ἀθάνατον;
Σῶμα δὲ δεῖ καλέειν, ἢ ἀσώματον; ἢ δὲ νοητοῖς
Τακλέον, ἢ λεπτοῖς, ἢ ὃ σπερμοφότερον;
Ἀτὰρ ὁ τὰς βίβλους ἀνελέξατο τῶν μετεώρων,
Καὶ ὃ περὶ ψυχῆς ἔργον ἀριστοτέλους.
Καὶ τῷδ᾽ ἀτῷ φαίδωνι πλατωνικὸν ὕψος ὀπτεύσας,
Πᾶσαν ἐνησκήκη πρόσθεν ἀτρεκίλλω.
Εἶτα περιστέλλων ὃ τειρώνιον, εἶτα γλυκείου
Ἀκρα καταψήχων, τὶ λύσιν ὀξέφερεν.
Εἴπερ ὅλως ὅστι ψυχὴ φύσις, (τόδε γὰρ οἶδα)
Ἡ θνητὴ πρότερος ὅστιν, ἢ ἀθάνατος,

Σ τεγνοφυὴς, ἡ αὐλὸς ὅταν σὶ ἀχέοντα φρήσῃς,
Κ ᾄδῃ δ' ἡμερτὲς γώσεαι ὡς ὁ πλάτων.
Ε ἰ σὶ ἐθέλῃς, τ' παῖδα κλεόμβροτον ἀμβρακιώτην
Μ ιμοῦ, καὶ τεγέων σὸν δέμας ἐκχάλασον·
Κ αί κεν ὑπαγνοίης δίχα σώματος αὐτίκα σαυτὸν,
Μ οιῶον ὄφρ ζητεῖς, τῶθ' ὑπολῃπόμβος.

Τοῦ αὐτοῦ.

Εἰ μοναχοὶ, τί τοσοῖδε; τόσοι δέ τε, πῶς πάλι μοιῶοι;
Ω πληθὺς μοναχῶν, ψευσαμένη μονάδα.

Τοῦ αὐτοῦ.

Τοῦ πωγωνοφόρου κυνικοῦ τῦ βακχεωσαμένου
Εἴδωλόν σὶ δείπνῳ τιὼ μεγαλίῳ ζωφίῳ.
Θέρμων μὲν γὰρ ἔτοιμον ἀπέφερτο καὶ ῥαφανίδων,
Μὴ δεῖν δουλεύειν γαστρὶ λέγων ἀρετιώ·
Εὖτε σὶ ὀφθαλμοῖσιν ἴδεν χιονώδεα βολβὸν
Σ τευφιλίῳ, οὐ πινυτὸν ἦδη ἔκλεπτε νόον·
Η τησεν ὧδά τε δοξαδοκίαν, καὶ ἔπεωλε ἀληθῶς,
Κ ᾄδὲν ἔφη βολβὸν τιὼ ἀρετιὼ ἀδικεῖν.

ΕΙΣ ΧΩΛΟΥΣ, ϰξζ νζ

ΓΑΛΛΑΔΑ.

Χωλὸν ἔχῃς τὸν νοῦν, ὡς τὸν πόδα· καὶ γὰρ ἀληθῶς
Εἰκόνα τῶν ἐντὸς σὴ φύσις ἐκλὸς ἔχῃ.

Τοῦ αὐτοῦ.

Υἱὸν ἔχῃς τὸν ἔρωτα, χωλαίνει δὲ τιὼ ἀφροδίτιω·
Οὐκ ἀδίκως χαλκεῦ τὸν πόδα χωλὸν ἔχῃς.

Ἄδηλον.

Μισόπωγε θεά, μοιώη πλούτου δαμάτειρα,
Η ὃ καλῶς ζῆσαι πρώτοτ' ἔπιζε μύῃ.
Εν δὲ καὶ ἀλλοτρίοις ἐπιζομένη ποσὶ χαίρῃς,
Ο πλοφορῆν τ' οἶδας, καὶ μύρα σοὶ μέλεται.
Τέρπει καὶ στέφανός σε, καὶ αὐσονίου πόμα βάκχου.
Τ αῦτα μὲν ὧδά τοι χοῖς γίγνεται ἐσθλὰ πότε.
Τοὐνεκα καὶ φθίνῃς πενίης τὸν χάλκεον ὀδὸν,
Τέρπῃ σὶ εἰς πλούτου πρὸς πόδας ἐρχομένη.

Ἀδηλον.

Λεσιμβοῖς βάκχου καὶ λεσιμβοῖς ἀφροδίτης
Γεννᾶται θυγάτηρ λεσιμβὶς ποδάγρα.

Τέλος τοῦ δευτέρου τμήματος τῆς ἀνθολογίας
διαφόρων ἐπιγραμμάτων.

Ἐν ᾧ ἑξῆς τρίτῳ τμήματι ἐπιπάφια ἔχοντι
ἐπιγέγραται κεφάλαια πάνδε.

Εἰς ἀγαθοὺς ἄνδρας, κεφ. α
Εἰς ἀγωνιστάς, κεφ. β
Εἰς ἀδελφούς, κεφ. γ
Εἰς ἁλιέας, κεφ. δ
Εἰς ἀνδρείους, κεφ. ε
Εἰς ἄνδρας ἀνεπιτηδείους, κεφ. ϛ
Εἰς ἀρχαίους πίνακας, κεφ. ζ
Εἰς αὐλητάς, κεφ. η
Εἰς βρέφη, κεφ. θ
Εἰς γέροντας, κεφ. ι
Εἰς γεωργούς, κεφ. ια
Εἰς γυναῖκας, κεφ. ιβ
Εἰς δούλους, κεφ. ιγ
Εἰς ἥρωας, κεφ. ιδ
Εἰς ἰατρούς, κεφ. ιε
Εἰς ἰχθυεῖς, κεφ. ις
Εἰς ἰχθύας, κεφ. ιζ
Εἰς κιθαρῳδούς, κεφ. ιη
Εἰς κυνηγούς, κεφ. ιθ
Εἰς μεθύσους, κεφ. κ
Εἰς μοιχούς, κεφ. κα
Εἰς ναυαγήσαντας, κεφ. κβ
Εἰς νέους καὶ νέας, κεφ. κγ
Εἰς ὄρνις, κεφ. κδ
Εἰς ποιητάς, κεφ. κε
Εἰς ποιμένας, κεφ. κϛ
Εἰς πόλεις, κεφ. κζ
Εἰς πωλοῦντας, κεφ. κη
Εἰς πονηρούς, κεφ. κθ
Εἰς ῥήτορας, κεφ. λ
Εἰς υἱοὺς καὶ θυγατέρας, κεφ. λα
Εἰς φιλοσόφους, κεφ. λβ

ΑΝΘΟΛΟΓΙΑΣ

διαφόρων ἐπιγραμμάτων, εἰς ἑπτὰ βιβλία διηρημένης, τὸ τέτον.

ΕΙΣ ΑΓΑΘΟΥΣ ΑΝΔΡΑΣ, κξ ζ

Εἰς πλάτωνα.

Σωφροσύνη τοσσφέρων θνητῶν ἥδη τε δικαίω
Ενθάδε κεῖται ἀνὴρ θεῖος Ἀριστοκλέης.
Εἰ δέ τις ἐκ πάντων Σοφίης μέγαν ἔσχεν ἔπαινον,
Οὗτος ἔχη πουλυ, καὶ φθόνον οὐ φέρεται.

ΝΙΚΑΡΧΟΥ.

Δουλικίτιον μὲν ἀνακλες ἄχρον βιότοιο τοσὸς ὄλβον
Ηγαγον ἐξ ἀρετῆς καὶ κλέος ἀφθιτάτων·
Ως δὲ φύσις μὲν ἔλυσεν ἀπὸ ζθονός, ἀθάνατοι μὲν
Αὐτὸν ἔχουσι θεοὶ, σῶμα δὲ σηκὸς ὅδε.

ΙΟΥΛΙΑΝΟΥ ἀγυπάτου.

Α Κλφὸς ἰωαννῆς. Β θνητὸς, λέγε. Α γαμβρὸς ἀνάσσης.
Β Θνητὸς ἡμῶς. Α γλυκῆς ἀὴρ ἀπασασίου.
Β Θνητοῦ καὶ κείνου. Α βίον ἔνδικος. Β οὐκ ἔτι τοῦτο
Θνητὸν ἔφης. Α ζῆται κρείσσονές εἰσι μόρου.

ΧΡΗΣΤΟΔΩΡΟΥ.

Οὗτος ἰωαννίτω κρύπτῃ πάφος, ὃς ῥ' ὀπιδάμου
Αγρον ἔλω, ἰὼ δὴ παῖδες ἀριστοτρεπέες.
Ελισαν ἡρακλῆος ὅθεν καὶ μέρμερος ἥρως
Αἰεὶ τῷ ἀδίκῳ σκληρὸν ἔχοντε μένος.
Εἶχε σ' ἀπ' ὀσσοβέων τοσσόνων ἐλικυδέα πάτρην,
Λυγκαδόν, ἰὼ φοίνιξ καλὸς ἔδη με πόλιν.
Ενθεν λύγκος ἔλευ ἑλικώνιος, οὐνεκα καλὸς
Σκιρίτων δημιοῖς τοσσὸς ἔδειξε τύπον.
Εἰς ὑπάτους σ' αἰέλαμψε· καὶ ἰλλυριοῖσι δικάζων,
Μούσας καὶ καθαρὸν ἐστεφάνωσε δίκην.

Ἀδέσποτον.

Εἰ γένος εὐσεβέων ζώει μετὰ τέρμα βίοιο,
Ναιετάον κατὰ θυμὸν ἀνὰ στόμα φωτὸς ἑκάστου,
Ἀνδρέα, σὺ ζώεις, οὐ κάτθανες· ἀλλά σε χῶρος
Ἄμβροτος ἀθανάτων ἁγίων ὑπέδεκτο καμόντα.

ΚΑΡΦΥΛΙΔΟΥ.

Μὴ μέμψῃ πθριὼν τὰ μνήματά μου πθροδῖτα·
Οὐδὲν ἔχω θρήνων ἄξιον οὐδὲ θανών·
Τέκνων τέκνα λέλοιπα· μιῆς ἀπέλαυσα γυναικὸς
Συγγήρου· τρισσοῖς παισὶν ἔδωκα γάμους,
Ἐξ ὧν πολλάκι παῖδας ἐμοῖς ἐνεκοίμισα κόλποις,
Οὐδενὸς οἰμώξας οὐ νόσον, οὐ θάνατον.
Οἵ με κατασπείσαντες ἀπήμονα, τὸν γλυκὺν ὕπνον
Κοιμᾶσθαι χώρην πέμψαν ἐπ' εὐσεβέων.

Ἀδέσποτον.

Μὴ σύ γε θνητὸς ἐών, ὡς ἀθάνατός τι λογίζου.
Οὐδὲν γὰρ βιότου πιστὸν ἐφημερίοις.
Εἰ καὶ τόνδε κάσανδρον ἔχει τορὸς ἥδε θανόντα,
Ἄνθρωπον φύσεως ἄξιον ἀθανάτου.

Εἰς τὸν αὐτόν.

Τίς λίθος οὐκ ἐδάκρυσε σέθεν φθιμένοιο, κάσανδρε;
Τίς πέτρος ὃς τῆς σῆς λήσεται ἀγλαΐης;
Ἀλλά σε νηλεὴς καὶ βάσκανος ὤλεσε δαίμων,
Ἡλικίην ὀλίγην εἰκοσιέξ ἐτέων·
Ὃς χήρην ἄλοχον θῆκεν, μογερούς τε τοκῆας
Γηραλέους, στυγερῷ πένθει τειρομένους.

ΘΑΛΛΟΥ.

Διοσὰ φάη μίλητε, τεῆς βλαστήματα γαίης,
Ἰταλὶς ὠκυμόρους ἀμφεκάλυψε κόνις·
Πένθεα δὲ στεφάνων ἠλλάξαο· λείψανα δ' αἴ, αἴ,
Ἔδρακες ἐν βαιῇ κάλπιδι κευθόμενα.
Φεῦ, πάτρα τριτάλαινα· πόθεν πάλιν ἢ πότε τοίους
Ἀστέρας αὐχήσεις ἑλλάδι λαμπομένους;

ΚΑΛΛΙΜΑΧΟΥ.

Τῇδε σάων ὁ δίκωνος ἀκάνθιος ἱερὸν ὕπνον
Κοιμᾶται· θνήσκειν μὴ λέγε τοὺς ἀγαθούς.

ΜΕΛΕΑΓΡΟΥ.

Γαμμῆτορ γῆ χαῖρε· σὺ τὸν πάρος οὐ βαρὺν εἰς σὲ
Αὐσιγένην, καὐτὴ νῦν ἐπέχοις ἀβαρής.

ΗΓΗΣΙΠΠΟΥ.

Τὴν ἐπὶ πυρκαιῆς ἐνδέξια φασὶ κέλευθον
Ἑρμῆν τοὺς ἀγαθοὺς ἐς ῥαδάμανθυν ἄγειν.
Η, καὶ ἀριστόνοος χαιρεστράτου οὐκ ἀδάκρυτος
Παῖς ἡγησίλεω δῶμ' ἄϊδος κατέβη.

ΑΓΑΘΙΟΥ σχολαστικοῦ, ἐπὶ θεοδότῳ ᾧ γαμβρῷ, ἐπ' ἐχθρᾷ τετελευτηκότι τῆς ἰδίας γαμετῆς.

Ναὶ μὰ τὸν ἐν γαίῃ πύματον δρόμον, οὔτέ μ' ἀκοιτὶς
Εστυγεν, οὔτ' αὐτὸς θεύδοτος εὐγενίης.
Εχθρὸς ἑκὼν γενόμην. ἀλλὰ φθόνος ἠέ τις ἄτη
Ημέας ἐς τόσσην ἤγαγεν ἀμπλακίην.
Νῦν δ' ἐπὶ μινώην καθαρὴν κρηπῖδα μολόντες,
Αμφότεροι λευκὴν ψῆφον ἐδεξάμεθα.

ΓΑΥΛΟΥ ΣΙΛΕΝΤΙΑΡΙΟΥ.

Γρηὺς, ἐλευθερίην ἐπιειμένος, ἡδὺς ἰδέσθαι,
Εν βιότῳ προλιπὼν υἱέα γηροκόμον,
Τύμβον ἔχει θεόδωρος ἐπ' ἐλπίδι κρείσσονι μοίρης,
Ολβιος ἐν καμάτοις, ὄλβιος ἐν θανάτῳ.

ΛΕΩΝΙΔΟΥ.

Εσθλὸς ἀριστοκράτης ὅτ' ἀπέπλεεν εἰς ἀχέροντα,
Εἶπ' ὀλιγοχρονίης ἁψάμενος κεφαλῆς,
Παίδων τὶς μνήσαιτο, καὶ ἑδνώσαιτο γυναῖκα,
Εἰ καί μιν δάκνει δυσβίοτος πενίη.
Ζωὴν στυλώσαιτο· κακὸν δ' ἄστυλος ἰδέσθαι
Οἶκος· ὁ δ' αὖ λῷστός τ' ἀνέρος ἐσχαρεών,
Εὐκίων φαίνοιτο, καὶ ἐν πολυκαέϊ ὀγκῷ
Ενστῇ, αὐγάζων δαλὸν ἐπεσχάριον.

Η δὲ Χριστοφάτης ὃ κρήγυον· ἀλλὰ γυναιξὶν
Ανθεφπ' ἡ ἔθαρεν πλὼ ἀλιζοφεσσιώλω.

ΣΩΦΡΟΝΙΟΥ πατριάρχου ἱεροσολύμων
εἰς τὸν τάφον ἰωάννου πάπα
ἀλεξανδρείας.

Τύμβε, τίς, ἢ πόθεν ἰών; ἢ τί; παῖς τίνος; ἔργα δ' ὅλ-
Νεκρὸς ὃν ἔνδον ἔχεις, ἔννεπε, κευθόμενον. (βον,
Οὗτος, ἰωάννης, κύπριος γένος, ὑψόθι τύφου
Εὐγενέος σφαίρου· ἰὼ δὲ νομεὺς φαέθων. (πρὸς,
Κτήματα μὲν πολύολβος ὅλων πλέον ὧν τρέφε κύ-
Εκ πατέρος πατέρων, ἐξ ὁσίων τε πόνων.
Εργα δὲ θεσπέσια πάμπα λέγειν ἄπορ· ἐν χθονὶ τεύξεν,
Οὐσί' ἐμοὶ δύστηνον, οὐσὶ' ἑτέρων στομάτων.
Γαῖα γὰρ ἄνδρα πρόπαν θεοφιλέα τάφοισι,
Δόξαντα κρατέειν τὰς ἀρετὰς ἑτέρων.
Τοῦ, καὶ κάλλεα πάμπα, τάπερ πόλις ἔλλαχεν αὐτή,
Εἰσὶ φιλοφεσσιώνης κόσμος ἀφθίτατος.

Τοῦ αὐτοῦ εἰς τὸν αὐτόν.

Αρχὸς ἰωαννῆς φαρίης ἀρετῶν ἱερείων,
Ενθάδε νεῶ μετὰ τέρμα φίλης πατρίδι κεῖται.
Θνητὸν μὲν λάχε σῶμα, καὶ εἰ βίον ἄφθιτον ἔσχεν,
Αθανάτοις ταρήξας τε καὶ ἡδόνα ῥέξεν ἀπείοις.

ΣΙΜΩΝΙΔΟΥ.

Τῶν αὖ τις ἕκαστος ἀπολλυμένων ἀρετάων
Νικόδικον δὲ φίλοι καὶ πόλις ἥδε κλαίει.

Αδηλον.

Τοῦτό τοι ἡ μητρὸς μνημεῖον, ἐσθλὲ σαώσινε,
Αἰνὸς ἀμφὶ σέθεν, τῆς μεγάλης φιλίης.
Αἰεὶ ζητήσω σε· σὺ δ', εἰ θέμις, ἐν φθιμένοισι
Τοῦ λήθης ἐπ' ἐμοὶ μή τι πίῃς πώματος.

Αδηλον.

Ενθάδε τύμβος ἔχει θεοφιλέας ἀνέρας ἑπτὰ,
Θῆρον ἰωαννίδην, τὸν πάνυ θαυμάσιον.

Ὧν ἀρετὴ πολύολβος ἐς οὐρανοῦ ἄϊτυγας ἦλθεν,
Καὶ φωτὸς μετόχοις δεῖξεν ἀκηράσιον.

Εἰς νικήσαντα παγκράτιον ἀλε-
ξάνδρειας.

Ὃς βασιλῆς ἐδάμασε, καὶ ἰωρείῳ κατέπαυσεν
Ἀντιπάλων, πατέρων εἵνεκεν εὐνομίης,
Οὗτος νῦν σμικρῷ κατάκειται σήματι τῷδε,
Ἀρχεφόλις χείρων νικήλεως μεγαώς·
Ἀλλ' ἀρετὴ πολύολβος ἐπέσπατο πείσματα κόσμου,
Καὶ ψυχὴ μακάρων ἀμφιπολῆ θαλάμοις.
Τοίλιον δὲ βιοτεύων ποδέεσκεν ἐὼν ὑπὲρ γαίης,
Σῶμα καλὸν πίσεσι κυδαλίμοις καμάτοις.

Εἰς ὁ αὐτό.

Στήλιον εὐνομίης, καὶ σοφεσσιώνης ἀνάθημα,
Εἰκόνα νικήλεω ἔστησατο χειροδέκης.

Ἄλλο.

Οὐδὲ θανὼν κλέος ἔβλον ἀπώλεσας ἐς χθόνα πᾶσι,
Ἀλλ' ἔτι σῆς ψυχῆς ἀΐλλεται πότμα μολούσῃ.
Ὡς ἔλαχές τ' ἔμαθές τε φύσει μὴ πρῶτον ἁμαρτεῖν·
Τῷ ῥα καὶ ἐς μακάρων νῆσον ἔβης πυθέα.

ΚΑΛΛΙΜΑΧΟΥ.

Ἦν δίζῃ τί μοι χρὼς ὠχρὸν ἐν ἄϊδος, ὄφρα πύθηαι
Ἢ τί περὶ ψυχῆς, ἢ πάλι πῶς ἔσεται,
Δίζεο θἠμείης φυλῆς τῶν ὀλεμαΐδος, ἡέα παίδων
Γαυσανίου· δηρὸς δ' αὐτὸν ἐν εὐσεβέων.

ΕΙΣ ΑΓΩΝΙΣΤΑΣ,
ϰεʹ βʹ

ΣΙΜΩΝΙΔΟΥ.

Εἰπὸν τίς, τίνος ἐσσί, τίνος πατρίδος, τί δὲ νικᾷς.
Κάσμυλος, υἱὸς Ἀγάρεος, πύξ, ῥόδιος.

Τοῦ αὐτοῦ.

Μίλωνος τόδ' ἄγαλμα καλοῦ καλόν, ὅς ποτε πίσῃ
Ἑπτάκι νικήσας, ἐς γόνατ' οὐκ ἔπεσεν.

ΦΙΛΙΠΠΟΥ.

Τὸν σὺν σινώπῃς εἰ κλύῃς δαμόστρατον,
Πίτυω λαβόντα τὴν κατ' ἰσθμὸν ἔξάκις,
Τοῦτον δέδορκας· οὗ κατ' ὄμμα πάλιν
Ἀμμος πεσόντος νῶτον οὐκ ἐσφῴνισεν.
Ἰὴ ἰὴ ὦ θεόσωπον ἡνεθύμιον, ὡς ἔπι
Σωζῇ παλαιὰ τὴν ὑπὸρ νίκας ἔλιν.
Λέγῃ δὴ ὁ χαλκὸς, ἁ βάσις με λυσάτω,
Χὡς ἔμπνοος νικῶ ἕβδομον χρόνον μένων.

ΚΑΛΛΙΜΑΧΟΥ.

Σωτομος ἰὼ ὁ ξένος ὁ καὶ Ζάφος. οὐ μακρὰ λέξω.
Θῆις, ἁρίσταυ, κρῆς, ἴσω ἐμοὶ δολιχόν.

ΕΙΣ ΑΔΕΛΦΟΥΣ, ξζ ηζ

ΑΓΑΘΙΟΥ σχολαστικ.

Λητοΐδης καὶ παῦλος ἀδελφεὼ ἄμφω ἐόντε,
Ξωιὼ μὴ βιότου συζυγίῃ ἐχέτην,
Ξωὰ δὲ καὶ μοίρης λαχέτην λίνα, καὶ τόδ' ἄθηνα
Βοασσεΐῃ, ξωιὼ ἀμφεβάλοντο κόνιν.
Οὐδὲ γὰρ ἀλλήλοιν ζώῃν ἀπομόρξατο δωιάθλω,
Ἀλλὰ ξωτρεχέτην καὶ τόδε φερσεφόνῃ.
Χαίρετον ὦ γλυκερὼ ζυγόφεγνε· σήματι δ' ὑμέων
Ὡ φελεν ἱδρύσθαι βωμὸς ὁμοφεσσιάς.

Του αὐτ.

Εἷς δύ' ἀδελφοὺς ἐπέχει Ζάφος· ἓν γὰρ ἔπεσχεν
Ἡ μοῖρ καὶ γλυκεῖς οἱ δύο καὶ θανάτου.

ΕΙΣ ΑΛΙΕΑΣ, ξζ ηζ

ΣΑΠΦΟΥΣ.

Τῷ λειπεῖ πελάγῃσι πατὴρ ἀνέθηκε μυΐσκης
Κύρτον, καὶ κώπην, μνᾶμα κακοζωΐας.

ΙΟΥΛΙΑΝΟΥ ἀιγυπτίου.

Μύρδων τέρμα βίοιο λαχὼν, αὐτόσολος ἦλθεν
Εἰς ἀΐδην, νεκύων πορθμίδος οὐ χατέων,

Ἦν γὰρ ἔχε ζώων βιοδώτερα, μῦρτερα μόχθων,
Ἀγρας εἰναλίας πολλάκι βειομένῳ,
Τήνδε καὶ ἐν θανάτῳ λάχε σεμνὸν ὄνειδος, ὅτε πελάγιος
Εὕρετο, συλλήξας ὁλκάδι κωμομένῃ.
Οὕτω πιστὸν ἄνακτι πέλε σκάφος, οἷσιν ἀέξον
Μύσδονι, καὶ σύμπλοον ἐς βίον, ἐς θάνατον.

ΑΡΓΟΛΑΩΝΙΔΟΥ.

Ἰχθυοθηρητῆρα μυέστρατον ὤλεσεν ἀγρη,
Δούναξ ἱππείης ἐκτειχὸς ἑλκομένη.
Εἶδαρ ὅτ' ἀγκίστρου φόνιον πλαδὸν ἀμφιχανοῦσα,
Ὀξείῃ ἐρυθρὴ φυκὶς ἔφειξε πάγῳ·
Ἀγνυμένη δ' ὑποδῦτα κατέκλασεν ἅλματι λάβρῳ
Ἐντὸς ὀλιθήρην δυσαμένη φαρύγων.

ΕΙΣ ΑΝΔΡΕΙΟΥΣ, κξ' ξ'

ΑΝΑΚΡΕΟΝΤΟΣ.

Κάρτερός ἐν πολέμοις τιμόκριτος, ὅν τόδε σῆμα.
Ἀρῆς δ' οὐκ ἀγαθῶν φείδεται, ἀλλὰ κακῶν.

ΑΝΤΙΠΑΤΡΟΥ.

Ὄρνι, διὸς κρονίδαο μάκλορε, τεὸν χάριν ἔσας
Γοργὸς ὑπὸρ μεγάλου τύμβον ἀριστομένους;
Ἀγγέλῳ μεσσηεσσιν ὅθ' οἰωνεὺ ὄσσον ἄριστος
Οἰωνῶν ἡμόμην, τόσσον ὅσ' ἠϊθέων.
Δηλαὶ τοι δηλοῖσιν ἐφεδρήσουσι πέλαμαι·
Ἄμμες δ' ἀτρέστοις ἀνδράσι τερπόμεθα.

ΑΝΑΚΡΕΟΝΤΟΣ.

Ἀβδηρῶν τὸν θανόντα τὸν ἀγνοβίου ἀγάθωνα
Πᾶσ' ὅτι πυρκαϊῆς ἦδ' ἐβόησε πόλις.
Οὔτινα δ' ὧδε νέων ὁ φιλάθλιος ἥρπασ' ἀγῶνος
Ἦ ναέμεν ἐν ῥηγμῖς ἐν προφαλίγγι μάχης.

ΜΕΝΑΝΔΡΟΥ Εἰς ὁπίκουρον καὶ Θεμιστοκλέα.

Χαῖρε νεοκλείδα, δίδυμον γόνος· ὧν ὁ μὲν ὑμῶν,
Πατρίδα δουλοσύνας ῥύσατ', ὁ δ' ἀφροσύνας.

ΓΕΡΜΑΝΙΚΟΥ Εἰς θεμιστοκλέα.

Αντὶ τάφου λιτοῖο θὲς ἑλλάδα, θὲς δ' ἐπὶ ταύτᾳ
Δούρατα, βαρβαρικᾶς σύμβολα ναυφθορίας·
Καὶ τύμβῳ κρηπῖδα περίγραφε περσικὸν ἄρη,
Καὶ ξέρξην. τούτοις θάπτε θεμιστοκλέα.
Στάλα δ' ἁ Σαλαμὶς ἐπικείσεται, ἔργα λέγουσα
Τἀμά. τί με σμικροῖς τὸν μέγαν ἐντίθετε;

Τοῦ αὐτοῦ.

Τοῦτο θεμιστοκλεῖ κενὸν ἠρίον εἴσατο μάγνης
Λαός, ὅτ' ἐκ μήδων πατρίδα ῥυσάμενος,
Ὀθνείην ὑπέδυ χθόνα, καὶ λίθον. ἤθελεν οὕτως
Ὀφθόνος· αἱ δ' ἀρεταὶ μεῖον ἔχουσι γέρας.

ΑΛΦΕΙΟΥ μιτυληναίου εἰς τὸν αὐτόν.

Οὔρεά μευ καὶ πόντον ὑπὲρ τύμβοιο χάρασσε,
Καὶ μέσον ἀμφοτέρων μάρτυρα λητοΐδην,
Αενάων τε βαθὺν ποταμῶν ῥόον, οἵ ποτε ῥείθροις
Ξέρξου μυριόναυν οὐχ ὑπέμειναν ἄρη.
Εγγραφε καὶ Σαλαμῖνα, θεμιστοκλέους ἵνα σῆμα
Κηρύσσῃ μάγνης δῆμος ἀποφθιμένου.

ΔΙΟΔΩΡΟΥ εἰς τὸν αὐτόν.

Μὴ μέτρει μάγνητι τὸ πηλίκον οὔνομα τύμβῳ,
Μηδὲ θεμιστοκλέους ἔργα σε λανθανέτω·
Τεκμαίρου Σαλαμῖνι καὶ ὁλκάσι τὸν φιλόπατριν.
Γνώσῃ δ' ἐκ τούτων μείζονα κεκροπίης.

ΔΙΟΤΙΜΟΥ.

Οὐδὲ λέων ὡς δεινὸς ἐν οὔρεσιν, ὡς ὁ μίκωνος
Υἱὸς κρινάγορης ἐν σακέων πατάγῳ.
Εἰ δὲ κάλυμμ' ὀλίγον, μὴ μέμφεο· μικρὸς ὁ χῶρος,
Αλλ' ἄνδρας πολέμου τλήμονας οἶδε φέρειν.

ΔΙΟΣΚΟΥΡΙΔΟΥ.

Τᾷ πιτάνᾳ θρασύβουλος ἐπ' ἀσπίδος ἤλυθεν ἄπνους,
Ἑπτὰ πρὸς ἀργείων τραύματα δεξάμενος,
Δεινὺς πρόσθια πάντα. τὰ αἱματόεντα δ' ὁ πρέσβυς
Παῖδ' ἐπὶ πυρκαιῆς τύννιχος εἶπε τιθεὶς,

Δειλοὶ κλαιέσθωσαν· ἐγὼ δέ σε τέκνον ἄδακρυς
Θάψω, τὸν, καὶ ἐμὸν, καὶ λακεδαιμόνιον.

ΕΡΥΚΙΟΥ.

Ἀνίκ' ἀπὸ πτολέμου τρέσσαντά σε δέξατο μήτηρ
Γάντα τὸν ὁπλιστὴν κόσμον ὀλωλεκότα,
Αὐτά τοι φονίαν δαμάτριε αὐτίκα λόγχαν
Εἶπε διὰ πλατέων ὠσαμένα λαγόνων,
Κάτθανε, μηδ' ἐχέτω σπάρτα ψόγον· οὐ γὰρ ἐκείνα
Ημπλακεν εἰ δειλοὺς τοὐμὸν ἔθρεψε γάλα.

ΔΑΜΑΓΗΤΟΥ.

Ωδ' ὑπὲρ ἀμβρακίας ὁ βοαδρόμος ἀσπίδ' ἀείρας
Τεθνάμεν ἢ φεύγειν εἵλετ' ἀριστάγορας,
Υἱὸς θευπόμπου μήθαυμ' ἔχε· δωρικὸς ἀνὴρ
Πατρίδος οὐ ζωᾶς ὀλλυμένας ἀλέγει.

ΑΠΟΛΛΩΝΙΔΟΥ.

Αἰλιὸς αὐσονίης στρατιῆς πρόμος, ὁ χρυσέοισι
Στέμμασι σωρεύσας αὐχένας ὁπλοφόρους,
Νοῦσον ὅτ' εἰς ὑπάτην ὠλίσθανε, τέρμα τ' ἄφυκτον,
Εἶδεν ἀριστείην ἀμφανὲς εἰς ἰδίην·
Πῆξε δ' ὑπὸ σπλάγχνοισιν ἑὸν ξίφος· εἶπέ τ' θνήσκων,
Αὐτὸς ἑκὼν ἐδάμην, μὴ νόσος εὖχος ἔχοι.

ΦΙΛΙΠΠΟΥ Εἰς τὸν αὐτόν.

Αἰλιὸς ὁ θρασύχειρ, ἀργοῦς πρόμος, ὀψὲ διώσας
Αὐχένα χρυσοδέτοις ἐκ πολέμου στεφάνοις,
Τηξιμενεῖ νούσῳ κεκολουμένος, ἔδραμε θυμῷ
Ες προτέρων ἔργων ἄρσενα μαρτυρίην·
Ωσε δ' ὑπὸ σπλάγχνοις πλατὺ φάσγανον, ἓν μόνον εἰπὼν,
Ανδρας ἀρῆς κτείνει, δειλοτέρους δὲ νόσος.

ΜΝΗΣΑΛΚΟΥ.

Οἵδε πάτραν, πολύδακρυν ἐπ' αὐχένι δεσμὸν ἔχουσε,
Ρυόμενοι, δνοφερὰν ἀμφεβάλοντο κόνιν.
Αρνυνται δ' ἀρετᾶς αἶνον μέγαν· ἀλλά τις ἀστῶν
Τοὺς δ' ἐσιδὼν, θνάσκειν τλάτω ὑπὲρ πατρίδος.

ΓΕΤΟΥΛΙΟΥ.

Ω χρόνε, πάμβιόν θνητῶν πάμπεπίσκοπε δαίμον,
Ἀγέλεος ἡμετέρων πᾶσι βροτοῖς παθέων·
Ὡς ἱερὰν σώζων πειράμβιοι Ἑλλάδα χώρην,
Βιοτῶν κλωνοῖς θνήσκομεν ἐν δαπέδοις.

ΑΝΤΙΠΑΤΡΟΥ.

Ἰὼ δὴ τὰ πρόβολῆσιν, ἀλὸς πρὸ κῦμα κιλίσσης
Ἄγελον, αἰ πέρσῶν κείμεθα μυριάδες,
Ἔργον Ἀλεξάνδροιο μακηδόνος· οἵ ποτ' ἀϊάκλι
Δ ἀρείῳ πυμάτιν οἶμον ἐφεπόμεθα.

ΛΑΚΑΙΟΥ.

Ἀ κλαυτοὶ καὶ ἄθαπτοι ὁδοιπόρε τῷδε κέλευθῳ
Κεῖμαι τᾶδε τεισαί κείμεθα μυριάδες,
Κεῖμαι τᾶδε μέγα πῆμα. τὸ δ' ἔννεπε κεῖνο Φιλίππου
Πεύθεσθαι, θοὸν ἐλάφων ὤχετ' ἐλαφρότερον.
Εἰς τοὺς ἐν Θερμοπύλαις θανόντας.
Μυριάσιν ποτὲ τῆδε τριηκοσίαις ἐμάχοντο
Ἐκ πελοποννήσου χιλιάδες τέτταρες.
Εἰς τοὺς αὐτοὺς.
Ὦ ξεῖν' ἄγγελον Λακεδαιμονίοις ὅτι τῇδε
Κείμεθα, τοῖς κείνων πειθόμενοι νομίμοις.
Εἰς τοὺς αὐτοὺς.
Ἀκμαῖ ἐσηκύαν ὅτι ξυνὸν Ἑλλάδα πᾶσαν,
Τᾶς ἡμῶν ψυχᾶς κείμεθα ῥυσάμενοι.
Εἰς τοὺς αὐτοὺς.
Ἀσβεστον κλέος οἵδε φίλη περὶ πατρίδι θέντες,
Κυανέου θανάτου ἀμφεβάλοντο νέφος.
Οὐδὲ τεθνᾶσι θανόντες, ἐπεὶ σφ' ἀρετὴ καθύπερθεν
Κυδαίνουσ', ἀναγὰ δώματος ἐξ ἀίδα.
Εἰς τοὺς αὐτούς.
Εἰ δ' ἀγαθὸς θνήσκειν ἀρετῆς μέρος ὅσσ' μέγιστον,
Ἡμῖν ἐκ πάντων τοῦτ' ἀπένειμε τύχη.
Ἑλλάδι γὰρ πεύθοντες ἐλευθερίην περιθεῖναι,
Κείμεθ' ἀγηράντῳ χρώμενοι εὐλογίῃ.

ΣΙΜΩΝΙΔΟΥ.

Χαίρετ' ἀριστῆες πολέμου, μέγα κῦδος ἔχοντες,
Κοῦροι ἀθηναίων, ἔξοχοι ἱπποσύνῃ,
Οἵ ποτε καλλιχόρου περὶ πατρίδος ὠλέσαθ' ἥβην,
Πλείστοις ἑλληνῶν αἰτία μαρνάμενοι.

ΑΙΣΧΥΛΟΥ.

Κυανέῃ καὶ τούσδε μενέγχεας ὤλεσεν ἄνδρας
Μοῖρα, πολύῤῥηνον πατρίδα ῥυομένους.
Ζωὸν δὲ φθιμένων πέλεται κλέος, οἵ ποτε γυίοις
Τλήμονες ὀσσαίαν ἀμφιέσαντο κόνιν.

Ἀδέσποτον.

Παῖδες ἀθηναίων, πέρσων στρατὸν ἐξολέσαντες,
Ἤρκεσαν ἀργαλέην πατρίδι δουλοσύνην.

ΣΙΜΩΝΙΔΟΥ.

Οὐδὲ ῥόου ψυχροῦ ποτιδεύεται ἀμφὶ λοετρά,
Ἀλλ' οἷς ποθέῃς, ζοῖον ὑπεκφέρεται.

ΑΓΑΘΙΟΥ σχολαστικοῦ Εἰς τὰ θερμὰ τὰ ἀγαμεμνόνεια ἐν σμύρνῃ.

Χῶρος ἐγὼ δηΐοις μεμνημένος, ἔνθα μολόντες
Τῆς ποδαλφείης ἐξελάθοντο τέχνης.
Ἕλκεα γὰρ μὴ δῆεν ἐμοῖς ἀκέσαντο ῥεέθροις,
Βαρβαρικῆς λάγχης ἴον ἀπωσάμενοι.
Ἔνθεν ἀεξήθω ὀρφνοφόρος· αὐτὰρ δὲ τιμῆς,
Τὴν ἀγαμεμνονέου δῶρον ἐπωνυμίην.

Ἄδηλον εἰς ἕτερα θερμά.

Χθὼν μυχάτων γυάλων κειλώμασιν ἀένναον πῦρ
Εὖτ' ἂν ἔχῃ, φλεξὶν δὲ παλιζείῃ κρυφίῃσιν,
Ἀτμὸς αἴνως βαίνων εἰς αἰθέρα θερμός, ἔνερθεν
Θλιβόμενος, πνειθαλπὲς ἐρεύγεται ἰκμάσιν ὕδωρ.

Ἄδηλον.

Χρήμασι τοῖς ἀγαθῶνος ἐδείματο τῆδε λοετρὸν
Δῆμος ὁ τῆς τεγέης, θαῦμα καὶ ἐσομένοις.

Εἰς λουτρὸν ἐν ὡραίῃ τόπῳ.

Οὐ βάραθρον ἔλιον παρεπάρθιδε τὸ νεῶ βάραθρον,
Ἀλλὰ τόπος σκυβάλων, χῶρος ἀποκρίσιος·
Νεῶ δὲ τὰ τερπνὰ τὰ πᾶσι βοώμενα καὶ ζαφλεγέντα,
Ἀγλαΐῃ παρέφερε· καὶ γὰρ ἀλεξάνορος
Νικαέων ἱερὰς, σοφίης ἐρικυδέος ἀστὴρ,
Τεύξε μιν οἰκείοις χρήμασι καὶ δαπάναις.

ΕΙΣ ΝΑΟΥΣ, κεζ κζ

Εἰς ναὸν τῶ Διὸς κλιθέντα πρὸς
κεκροπίδων.

Αὐτῷ ζωὸς ὅλῃ· οἶκος ἐπάξιος· ὧδέ γ' Ὄλυμπος
Μέμψεται οὐρανόθεν ζωὰ καταιγόμενον.

Εἰς τὸ αὐτό.

Κεκροπίδαι δίι τόνδ' ἔθεσαν δίμον, ὡς ἀπ' Ὀλύμπου
Νᾶσόμενος ποτὶ γαῖαν, ἐμὸν Ὄλυμπον ἔχῃ.

Ἀδηλον.

Ἰεμ' θεὰν ἀγαθοῖς αἰαπέπαται, τόδε καθαρμῶν
Χρῳὼ τῆς ἀρετῆς ἥψατο τόδε ἄγος.
Ὀστίς δ' οὐλοὸν ἦτορ, ἀπόσιχε· οὔποτε γὰρ σὴν
Ψυχὴν ἐκνίψῃ σῶμα μιαινόμενον.

Ἀδηλον.

Τίς ποτ' ἀπ' οὐλύμποιο μεταίξας πρόφρονεῶνα,
Τὸν πάρος οὐρανίοις ἐμβεβαῶτα δόμοις,
Ἐς πόλιν αὐδρόκλοιο, θεὰν βασίλειαν ἰώνων,
Τὰν δορὶ καὶ μούσαις ἀμπυκάτοιν ἔφεσσεν;
Ἦ σὺ φιλαμβύα τιτυοκλόνε μέζον ὀλύμπου
Τὰν ξυφόν, ὀρθωθοῖ τὸν σὸν ἔθευ θάλαμον.

ΕΙΣ ΝΙΚΗΣ ἀγάλματα, κεξ καζ

ΓΑΛΛΑΔΑ.

Νίκαι πάρεσμεν αἱ γλῳῶσαι πρόφρονοι,
Νίκας φέρουσαι τῇ φιλοχρήστῳ πόλει.
Ἐγκαίρων ἡμᾶς οἱ φιλοῦντες τὴν πόλιν,
Πρέποντα νίκαις ἐντυποιοῦντες χρήματα.

ΠΟΜΠΗΙΟΥ Εἰς ἄγαλμα νίκης ἀπτερον ἐν ῥώμῃ, ἧς τὰ πτερὰ κεραυνῷ κατεφλέχθη.

Ῥώμη πάρεσσι φέρειν κλέος οὔποτ' ὀλίσθαι·
Νίκη γάρ σε φυγεῖν ἄπτερος ἐδύνατο.

ΕΙΣ ΞΕΝΟΔΟΧΕΙΑ κεξ. κβζ

ΣΩΦΡΟΝΙΟΥ πατειάρχου.

Ὅρμιν ἁλωόλυθος, καὶ ἀνέσιον ἴχνος ἐλαύνων,
Εἴτ' ἀφ' ὁδοιπορίης, εἴτ' ἀπὸ ναυτιλίης,
Ἐνθάδε νιφοπάγεσσιν ἔβησεν ξένε τὸν σὸν πόδα,
Νεμεσσάθη ἐθέλων, οἶκον ἐπίμονον ἔχων.
Εἰ δέ μὲ καὶ τίς ἔτευξεν ἀνακρινέος πολίτης,
Εὐλόγιος, φαρίης ἀρχεράος ἀγαθός.

Εἰς Ὁ αὐτό.

Ἀγὸς ἐμοὶ, καὶ ξεῖνος, ἀεὶ φίλος. ὃ γὰρ ἐρωνᾷν
Τίς, πόθεν, ἢ τίνων, ἔστι φιλοξενίης.

ΕΙΣ ΟΙΚΟΥΣ, κετ' κγ'

ΜΑΚΕΔΟΝΙΟΥ ὑπάτου εἰς οἶκον ἐν κιβύρᾳ.

Εὐσεβίη τὸ μέλαθρον ἀπὸ προτοίο θεμέθλου
Ἄχρι καὶ ὑψηλοὺς ἤγαγεν εἰς ὀρόφους.
Οὐ γὰρ ἀπ' ἀλλοτρίων κτεάνων λήϊστορι χαλκῷ
Ὄλβον ἀολλίζων τεῦξε μακηδόνιος·
Οὐδὲ λιπερνήτης κενεῷ καὶ ἀκερδέϊ μόχθῳ
Κλαῦσε, δικαιοτάτου μισθοῦ ἀτεμβόμενος.
Ὡς δὲ πόνων ἄμπαυμα φυλάσσεται ἀνδρὶ δικαίῳ,
Ὧδε καὶ εὐσεβέων ἔργα μένοι μερόπων.

ΛΕΟΝΤΙΟΥ εἰς οἶκον κείμενον μέσον τοῦ ζευξίππου καὶ τοῦ ἱππικοῦ.

Ἐν μὲν τῇ, ζεύξιππον ἔχω πέλας, ἡδὺ λοεστόν·
Ἐκ δ' ἑτέρης, ἵππων χῶρον ἀεθλοφόρων.
Τοὺς ῥα θεησάμενος, καὶ τῷδ' ἔνι χρῶτα λοέσσας,
Δεῦρο καὶ ἄμπνευσον δαιτὶ παρ' ἡμετέρῃ.
Καί κε πάλιν σταδίοις ποτὶ δείελον ὥριος ἔλθοις,
Ἐγγύθεν ἐγγὺς ἰὼν γείτονος ἐκ θανάτου.

ΓΑΥΛΟΥ σιλεντιαρίου εἰς οἶκον ὑψηλὸν ἐν βυζαντίῳ.

Τρισσόθεν εἰσορόω πολυτερπέα νῶτα θαλάττης,
Πάντοθεν ἠματίῳ φέγγεϊ βαιμόμος.
Εἰς ἐμὲ γὰρ κροκόπεπλος ὅταν περικίδναται ἠὼς
Τερπομένη, στείχειν πρὸς δύσιν οὐκ ἐθέλει.

ΙΟΥΛΙΑΝΟΥ αἰγυπτίου εἰς οἶκον ἐπίπεδον.

Ὥρῃ ἀναψύχω θέρεος, καὶ χείματϊ θάλπω,
Τοὐλιπὲς ὡράων ἐξ ἐμέθεν παρέχων.

ΑΓΑΘΙΟΥ σχολαστικοῦ εἰς οἶκον ἐν ὕψει κείμενον ἐν βυζαντίῳ.

Τῆς ἀρετῆς ἱδρῶτα θεοὶ προπάροιθεν ἔθηκαν,
Ἔννεπεν ἀσκραῖος, δῶμα τόδε προλέγων.

Κλίμακα γὰ τοιαύτὴ ὠφίων κεκαφηότι ζαρσᾷ,
Ἰδρῶτι πλαδαρίῳ ἀμφεδίηνα κόμιζον·
Ὑψόθι γὰρ εἰσενόησα θαλασσαίῃ ὠκεανίτην.
Ναὶ τάχα τῆς ἀρετῆς πισότατος θάλαμος.

ΙΟΥΛΙΑΝΟΥ ἀπὸ ὑπάρχων αἰγυπτίου εἰς ἀφύλακτον οἶκον τοῦ αὐτοῦ.

Κερδαλέοις δίζεσθε δόμοις λήϊστορες ἄλλοις·
Τοῖσδε γὰρ οὐδὲ φύλαξ ἔμπεδος, ἠὲ πενίη.

Εἰς τὸν τείχινον τῆς μαγναύρας.

Ὁ πρηέως θλύπτουσαν τόνδε δόμον βασιλῆες,
Ἀϊχμιὴ ὀλοοδότειραν ἀπὸ σαυρωτῆρος λαχόντες
Αὐτὸς ἄναξ ἡρακλῆς, σὺν κωνσταντίνῳ υἷϊ.

Εἰς οἶκον τὸν ὁπιλεγόμενον χαλκῆ ἐν τῷ παλατίῳ.

Οἶκος ἀναστασίοιο τυραννοφόνου βασιλῆος
Μουσῶν ἐσφετέλλω πανυπείροχος ἄστεσι γαίης,
Θαῦμα φέρων πολύτεσιν· ἐπεὶ κοσμήτορες ἔργων
Ὑψος ὁμοῦ μῆκός τε καὶ ἄπλετον εὖρος ἰδόντες,
Ἀσκεπὲς ἐφεύροντο πελώριον ἔργον ἐᾶσαι.
Ἀλλὰ πολυμήτιος λαχὼν πρεσβηΐα τέχνης
Ἀθηναῖος πολύιδρις ἐμοὶ τεχνήσατο μορφώσας,
Ἀχαΐτῳ βασιλῆϊ φέρων εὐφροσύνια μόχθων.
Ἐνθεν ἀπειρέσιον μέγεθος εὐρυπόρου πλαγίων,
Ἀϋσσόνιον νίκησα βοώμενα θαύματα γαίης.
Εἶδον ἀρηροτέρησι χαλκοτορεύτου λίθος αὐλῆς.
Εἰ καὶ χαλκείων ὀφθαλμῶν ἀμαρύγματα πέμπεις,
Κρύψον ἀμετρήτων μεγάρων στεινούμενον αὐλαῖς
Γέργαμον, φαιδρὸν ἄγαλμα τεοῦ ῥουφίνιον ἄλσος.
Μηδὲ πανυπλοΐῃσιν ἀρηρότα κύζικε πέτρῃς
Ἀδριανοῦ βασιλῆος ἀμεμφέα νηὸν ἀείσῃς.
Οὐ μοι πυραμίδων ἰκέλη κρίσις, οὐδὲ κολοσσοί,
Οὐδὲ φάρος μεγάλην μουσῶν σὴν ὑπαφέδραμον αἴγλην.
Αὐτὸς ἐμὸς σκηπτοῦχος ἰσαυχενίοιο μετ' νίκην,
Χρυσοφαές μ' ἐτέλεσσεν ἑὸν θέλιον ἐλιχθείης,

Π αὐτὴ τετραπόρων ἀνέμων πεπεταμένον αὔραις.

ΜΑΡΙΑΝΟΥ σχολαστικοῦ Εἰς τὰ παλάτια Σοφιανῶν.

Ο πασῶν τερπνομβρίης ἄθνος ἀϋδιχα πόντου αἰολίης
Γ λαυκὸς ἁλικλύστων πορθμὸς ἐπ' ἠϊόνων,
Χ ρύσεα συλλέκτρῳ τάσῃ ἀνάκλορα δηκεν ἀϋτὴν
Τ ῇ πολυκυδίῃ θεῖος ἄναξ Σοφίῃ.
Α ξιον ὦ ῥώμῃ μεγαλοκρατὲς αὐτὰ σεῖο
Κ άλλος ἀπ' ἀνθρώπης δέρκεαι εἰς ἀσίλῳ.

ΓΑΥΛΟΥ σιλεντιαρίου Εἰς ὃ μέγα τραπέζιον καλλωπισθέν.

Κ όσμον ἰουστίνος βασιλὰς ῥυπόωντα καθήρας,
Κ αὶ τὰ μέγιστα δίκης ἠγλαΐσεν τεμένη·
Σ οῖς δὲ πόνοις δομνῖνε κατηφέα νύκλα διώκεις
Ε κ θεμιστὸς μεγάλων, ἐκ βιοτῆς μεθύπων.

ΘΕΑΙΤΗΤΟΥ σχολαστικοῦ εἰς ὃ αὐτό.

Ω ς ἀγαθὸν καὶ πᾶσι· ὅτι μὴ ἐσαῖ. φαιδροτέρης γὰρ
Δ ομνῖνος θαλάμοις μηδὲς ἐτεύξε δίκης.
Λ άμπω ἐγὼ μὲν παιδός, ὁ παῖς δ' ἐμεῖο φαεινός·
Κ ὐδεα δ' ἀλλήλοις ἀντιφερίζομεν.

Αδέσποτον Εἰς τὸν βασιλικὸν τῶν παιδευτηρίων ἐν Βυζαντίῳ.

Χ ῶρος ἐγὼ θεσμοῖσιν ἀφ' ἡμετέρου· ἐνθάδε πηγὴ
Α φθονος αὐσονίων ἐκ κέχυται νομίμων,
Η πᾶσιν τέταται μυθῶν ἀέναος, ἠϊθέοις δὲ
Ε νθάδε ἀγλεομύθοις πόμπα δίδωσι ῥόον.

ΙΟΥΛΙΑΝΟΥ ἀπὸ ὑπάτων ἀγορανομήσαντος Εἰς βῆμα τῶ Σοφιοῦ κρατεῖσθαι.

Δ ένδρον ἐγὼ μακαρεσσιν, ἐπεὶ ποτε μεσσόθεν ὕλης
Ι σάριθμον, λιγυεσσῖς ἐτερφόμεν αὐέμοις,
Ο ρνίθων ὀπίσω θρόνον ἐὐθρόον· ἀλλὰ σιδήρῳ
Ε τμήθην, κλήρῳ κρείσσονος δὐτυχίης.
Α ντὶ γὰρ ὀρνίθων, κρατεῖσθαι κρατεροῖς ὑπὸ μύθοις
Α ρθμηκα, δύμουσοις χεύμασι τηλεθάον.

Εἰς οἶκον ἀγαθίου σχολαστικοῦ ἐν βυζαντίῳ.

Τεῦξέ με πολλὰ καμὼν μουσώνιος οἶκον ἀγητὸν
Τηλίκον, ἀρκτῴοις ἄσθμασι βαλλόμενον.
Εμπης οὐκ ἀπέλειπεν ἀφεγγέα δώματα μοίρης,
Αλλά με καλλείψας, ἐν χθονὶ ναιετάει.
Καί ῥ' ὁ μὲν εἰς ὀλίγην κεῖται κόνιν· ἡ δὲ περισσὴ
Τέρψις ἐπὶ ξείνοις ἀνδράσιν ἐκκέχυμαι.

ΣΙΜΩΝΙΔΟΥ Εἰς θύρας.

Κίμων ἔγραψε τὴν θύραν τὴν δεξιάν.
Τὴν δ' ἐξιόντων δεξιὰν διονύσιος.

ΚΥΡΟΥ ἀπὸ ὑπάτων Εἰς τὴν μαξιμίνου οἰκίαν.

Δείματο μαξιμίνος νεοπηγέος ἔνδοθι ῥώμης,
Αὐταῖς ἠϊόνεσσι θεμείλια καρτερὰ πήξας.
Αγλαΐη δέ μοι ἀμφὶς ἀπειρεσίη τετάνυσται
Τῇ καὶ τῇ, καὶ ὄπισθεν ἔχω πτόλιν. Ἀλλὰ καὶ ἄντην
Γάνθ' ὁρόω γαίης βιθυνηΐδος ἀγλαὰ ἔργα.
Ημετέροις δ' ὑπένερθεν ἐρισθενέεσσι θεμέθλοις
Πόντος ἁλὸς προχοῇσι κυλίνδεται εἰς ἅλα δῖαν,
Τόσσον ἐπιψαύων ὁπόσον χθονὸς ἄκρα διῆναι.
Πολλάκι δ' ἐξεμέθεν τὶς ἑὸν μέγα θυμὸν ἰάνθη
Βαιὸν ὑπερκύψας, ἐπεὶ εἴσιδεν ἄλλοθεν ἄλλα,
Δένδρεα, δώματα, νῆας, ἅλα, πτόλιν, ἠέρα, γαῖαν.

Αδέσποτον.

Φαιδρὸν ἰουστινιανὸς ἄναξ ἐμὲ χῶρον ἐγείρει,
Ηλίῳ πρέχων θάμβος ἀνερχομένῳ.
Οὔποτε γὰρ τοιοῦτον ἐπὶ χθονὸς ἔδρακε κάλλος,
Υψόθεν οὐρανίην οἶμον ἐπερχόμενος.

ΑΓΑΘΙΟΥ.

Χῶρος ἐγὼ τοπρὶν μὲν ἔην στυγερωπὸς ἰδέσθαι,
Πηλοδόμοις τοίχοις ἀμφιμεριζόμενος·
Ενθάδε ξείνων τε καὶ ἐνδαπίων καὶ ἀγροίκων
Νηδὺς ἐπεγδούπει λύματα χευομένη·

Ἀλλ' πατήρ με πόλιος ἐνδηώσας ἀγαθίας,
Θῆκεν ἐρίζηλον, τὸν πρὶν ἀτιμότατον.

ΕΙΣ ΟΓΛΑ, κξ' κδ'

Εἰς ἀοιδὰ ἔχουσαν τὸ ζητοῦ τίω ὄνομα.

Ὡ πόσον βύθης ὁ ζωγράφος, ὅτι χαράσσει
Κοίρανον εἰρώνης ἀοιδὴ πυκλόμυον.

ΑΝΤΙΓΑΤΡΟΥ Εἰς κραῖος.

Ἡ χάρις ἀμφοτέρω ἔλαχον χάειν· εἰμὶ δ' ὁ θεᾶος
Καὶ τερπνὴ φιλίοις, καὶ φόβος ἀντιπάλοις.
Εἰ δὲ πυλαιμάχεος πειθῶν μ' ἔχῃ, ἔρρετε δ' ἀλγεα
Οὔτε χάρις χαίταις, οὔτε κόμη κόρυθι.

ΕΙΣ ΟΡΧΗΣΤΡΙΔΑΣ, κξ' κε'

ΛΕΟΝΤΙΟΥ σχολαστικοῦ Εἰς εἰκόνα ὀρχηστρίδος.

Μουσάων δεκάτη, χαρίτων καὶ ἑπτὰ μία τε τετάρτη,
Τερπωλὴ μερόπων, ἄγαλμα ἀγλαΐη,
Ὄμματά σοι, καὶ παρειαί, ποδῶν τε μέλη, καὶ σφαῖρα χρῶτι
Δάκτυλα, καὶ μούσων κρείσσονα καὶ χαρίτων.

Τοῦ αὐτοῦ εἰς εἰκόνα ἑτέρας ὀρχηστρίδος ἰσαμβίνης ἐν τῷ σωαδενίῳ.

Εἰμὶ μὲν ἑλλὰς δὴ βυζαντίας, ἐνθάδε δ' ἔστην
Ἡχὶ χοροσασίῳ εἴαρι δῆμος ἄγει,
Ὅππόθι πορθμῷ γᾶα μεείζεται. ἀμφότεραι γὰρ
Ἀντυγες ὀρχηθμοὺς ἦνεσαν ἡμετέρους.

Τοῦ αὐτοῦ εἰς εἰκόνα ὀρχηστρίδος ἐν χρυσῷ ἐν βυζαντίῳ.

Οὐτὶς ἐπ' αὐθούσῃ χρυσὸν βάλεν, ἀλλὰ καὶ αὐτὴ
Ἀμφεχύθη κρονίδης, ὡς τὸ πάρος δαμάᾳ.
Σώματι δ' οὐκ ἐπέλασεν, ἐπεὶ νόον ἔλλαβεν αἰδὼς
Μή τινι μουσάων μίσγεται οὐκ ἐθέλων.

Τοῦ αὐτοῦ Εἰς τὸ αὐλεῖν.

Θῆλυς ἐν ὀρχηθμοῖς κρατέῃ φύσις. εἴξατε κοῦροι·
Μοῦσα καὶ Ἑλλάδιν τῶτον ἔθεντο νόμον.
Ἡ μὲν, ὅτι πρωτίστη κινήσιος οὖρετο ῥυθμούς·
Ἡ δ', ὅτι τῆς τέχνης ἦλθεν ἐς ἀκρότατον.

Τοῦ αὐτοῦ Εἰς τὸ αὐλεῖν.

Εὐκλοέᾳ μοῦσ' τις ἄϊσε νέον μέλος· Ἑλλάδι δὲ
Εὐαρμοῦν χλαῖναν, πρὸς μέλος ὑφάσεν.
Ἦν δὲ πόθος καὶ δεῖμα περὶ ὀρχηθμοῖσιν ἀνοιγῆς.
Ἀρσενι γὰρ ῥώμῃ θῆλυ ἔμιξε χάριν.

Τοῦ αὐτοῦ Εἰς τὸ αὐλεῖν.

Οὔνομ' ἔχῃς λιβάνου, χρειτῶν δέμας, ἦθεα πειθοῦς,
Γαρθένε, καὶ πάφίης κεστὸν ἀπ' ὀκ λαγόνων.
Ἀὐτὰρ ἐν ὀρχηθμοῖσιν, ἔρως ἅτε κοῦφος ἀθύρῃς,
Κάλλεϊ καὶ τέχνῃ πνεύτας ἐφηκμάζῃ.

Εἰς ξενοφῶντος συμπόσιον εἰκόνα.

Αὐτὸν ὁρᾶν ἰόβακχον ἐδόξαμεν, ἡνίκα λίνοις
Ὁ πρέσβις νεαρῆς ἦρχε χορομανίης·
Καὶ κάδμου τὰ πρῶτα χορεύματα, καὶ τ' ἀφ' ὕλης
Ἄγχιον, ἐξιαχεῖ ἰχνελάτιν θιάσων,
Καὶ τὸν ἐπάζουσαν ἐν ἅρματι παιδὸς ἀγαυὸν
Λυσάδα. θεσπεσίης ἀνδρὸς ἀπεικρισίης.

ΑΝΤΙΠΑΤΡΟΥ Εἰς φίλιον πυλαιδοῦ ὀρχηστοῦ.

Αὐτὸν βακχευτὸν ἐνέδυ θεὸν, ἡνίκα βάκχας
Ἐκ θηβῶν ἱππάλιον ἤγαγε πρὸς θυμέλην
Ἀνθρώποις πυλαιδὴς· τερπνὸν δέος, οἷα χορεύων
Δαίμονος ἀκρήτου πᾶσαν ἔπλησε πόλιν.
Θῆβαι γιγνώσκουσι τὸν ἐκ πυρὸς· οὐρανίος δὲ
Οὗτος ὁ παμφώνοις χερσὶ λυρευόμενος.

ΕΙΣ ΓΗΓΑΣ, κξ' κς'

Ἀδέσποτον Εἰς πηγὴν ἐν τῷ ὀλύμπῳ ἔρῳ.

Τᾶς ποθούσης νύμφας ὑποείκομεν· ἀμφὶ δὲ καὶ αὐταὶ
Κρείσσονες ἠμείων χαίρετε παῖδες.

Αἱ δ' ἄλλαι πᾶσαι μετὰ πύθια, καὶ μετὰ προῦσαν·
Ἡμετέραις νύμφαις εἴξατε νηϊάδες.

Εἰς καμάρῑναν ἐν σικελίᾳ
προοιμιῶδες.

Μὴ κίνει καμάριναν· ἀκίνητος γὰρ ἀμείνων.
Μήποτε κινήσας τὴν μείονα, μείζονα θείης.

Ἀδέσποτον.

Ἀέναον καθαρήν τε παρερχομένοισιν ὁδίταις
Πηγὴν ἀμβλύζει γειτονέουσα νάπη.
Πάντη δ' αὖ πλατάνοισι καὶ ἡμεροθαλέσι δάφναις
Ἐστέμμαι, σκιερῇ ψυχομένη κλισίῃ.
Τοὔνεκα μή με θέρεος παραμείβεο· δίψαν ἀλαλκὼν
Ἄμπαυσον παρ' ἐμοὶ καὶ πόνον ἡσυχίῃ.

ΑΝΥΤΗΣ.

Φριξοκόμᾳ τόδε πανὶ καὶ αὐλιάσιν θέτο νύμφαις
Δῶρον ὑπὸ σκοπιᾶς θεύδοτος οἰονόμος.
Οὕνεχ' ὑπ' ἀζαλέου θέρεος μέγα κεκμηῶτα
Παῦσαν, ὀρέξασαι χερσὶ μελιχρὸν ὕδωρ.

ΝΙΚΙΟΥ.

Ἰζεῦ ὑπ' αἰγείροισιν (ἐπεὶ κάμες) ἐνθάδ' ὁδῖτα,
Καὶ πίε θᾶσσον ἰὼν πίδακος ἁμετέρας.
Μνᾶσαι δὲ κράναν καὶ ἀπόπροθεν, ἂν ἐπὶ γίλλω
Σιμὸς ἀποφθιμένῳ παιδὶ παριδρύεται.

Ἄδηλον.

Ὠκεανοῦ θυγάτηρ καὶ τηθύος εἰμὶ νύχεια
Κρήνη. τηλεβόαι γάρ με τόδ' ὠνόμασαν.
Νύμφαις μὲν προχέω λουτρὸν, θνητοῖσι δ' ὑγείην.
Θῆκε δέ με πτερέλας υἱὸς ἐνυαλίου.

Ἀδέσποτον.

Ἔνθεν ἀλέξανδρος μακεδὼν πίεν ἀγλαὸν ὕδωρ,
Μητρὸς δ' εἶπε γαλάκτι πανείκελα ῥεύματα πηγῆς,
Ἠ καὶ ὀλυμπιάδος πόρεν οὔνομα μητέρος ἐσθλῆς.

ΕΙΣ ΠΟΙΗΤΑΣ, κξ΄ κζ΄

Εἰς εἰκόνα Ὁμήρου.

Υἱὲ μολήτου Ὅμηρε, σὺ γὰρ κλέος Ἑλλάδι πάσῃ
Καὶ κοσμοφώνῳ πάτρῃ ζήκας ἐς Ἄϊδος.
Καὶ ζώεις αὐτῇσιν ἐν ἀθανάτοισι καὶ ἔργοις,
Δαιτὸς ἐν ἡδείων γραφόμενος σελίδας.
Ὑμνῆσαι δ' ἢ μοῦνον ὁ δυσμενὲς πολύπλαγκτον,
Ἢ δὲ τὸν ἰλιακὸν δάρδανον ἀμφὶ πόλεμον.

Εἰς τὸν αὐτόν.

Τίς ποθ' ὁ τὸν Ἑλλήνων πόλεμον σελίδεσι χαράξας,
Ἢ πίς ὁ τὰ δολιχοῦ λαοπλάστου πλανίου;
Οὐκ ὄνομ' ἀθέσφατον σαφὲς, ὦ πόλιν ὁρᾶνιε Ζεῦ,
Μὴ ποτε σῶν ἐπέων δόξαν ὄμηρος ἔχῃ;

Εἰς τὸν αὐτόν.

Ὁ ποῦ ἰὰς τὸν Ὅμηρον ἀναγραψόμεθα πάτρης,
Κῶον ἐφ' ᾧ πᾶσαι χεῖρ' ὀρέγουσι πόλεις;
Ἢ ὃ μοῦνόν ἐστιν ἄγνωστον· ὁ γὰρ ἀθανάτοις ἴσος ἥρως
Τὰς μούσας ἔλιπεν πατρίδα καὶ γλυκύν;

Εἰς τὸν αὐτόν.

Οὐχὶ πέδον σμύρνης ἐλαχεύσατο θεῖον Ὅμηρον,
Οὐ κοσμοφώνου πατρὸς ἄστρον ἰωνίης,
Οὐ χίος, σὸν ἀγῶνα πόθος ἔσσατο, κοίρανε μοῦσα,
Οὐ νῆσος κρανάη λαοπλάστου πάτρη,
Οὐκ Ἄργος δαΐδαιον, κυκλώπειά τε μυκήνη,
Οὐδὲ Θήβη κεκροπίων ἄγυ παλαιγόνων.
Οὐ γὰρ ἐφυ χθονὸς ἔργον· ἀπ' αἰθέρος ἄλλα ἔ μοῦσαι
Γ' ἐμφάμεν, ἵν' ἡμετέροις δῶρα ποθητὰ φέρῃ.

ΑΝΤΙΠΑΤΡΟΥ Εἰς τὸν αὐτόν.

Οἱ μὲν σευ κοσμοφώνα διαπρυσιήτειραν Ὅμηρε,
Οἱ δὲ καλαὶ σμύρναι, οἱ δ' ἐνέπουσι χίον.
Οἱ δ' Ἴον, οἱ δ' ἐβόασαν ἐύκλαρον Κολοφῶνα,
Οἱ δὲ νυ τὰν λαμπρῶν μητέρα θεσπαλίων.

Ἄλλοι μ' ἀοιδὸν γαῖαν αὐίαχον· εἰ δέ με φοίβου
Χρὴ λέξαι πινυτὰς αἰδίχα μνηστοσύας,
Πάτερα σοι τελέθω μέγας οὐρανός, ἐκ δὲ τεκούσης
Οὐθαλίης, μαῖος δ' ἔπλεο καλλιόπας.

Εἰς τὸν αὐτόν.

Ἑπτὰ ἔριδ' μαίνοισι πόλις Διὸς ἄμβροτον υἱόν,
Κύμη, σμύρνα, χίος, κολοφών, πύλος, ἄργος, Ἀθῆναι.

Εἰς τὸν αὐτόν.

Ἑπτὰ πόλις μύρίαντο σοφὸν Διὸς ἄμβροτον υἱόν,
Σμύρνα, χίος, κολοφών, ἰθάκη, πύλος, ἄργος, Ἀθῆναι.

Εἰς τὸν αὐτόν.

Χίος ἔφης; Ὃ φημι. Τί δαί, σμυρναῖος; Ἀπαυδῶ.
Κύμη δ' ἢ κολοφὼν πατρὶς ὁμήρου σέθεν;
Οὐδετέρη. Καλαμὶς ἦ τε πόλις; Ἀλλ' ἀπὸ ταύτης
Ἐξέφυ. Ἀλλ' αὐτὸς λέξον ὅπη γένεας.
Οὐκ ἐρέω. Τίνος ἦρα; Πεπείσμεθα, τὰ τεκέος εἰπών,
Ἐξω τὰς δοίας ἄμμιν ἀπεθέμιδας.

Εἰς τὸν αὐτόν.

Ἐκ μὲν ἀοιδῶν ὅμηρος καὶ ἐξ ἀοιδῶν ἀείδει,
Οὐρανίης μούσης δόξαν ἀφειμένος.
Μοῦνον γὰρ ἄφασας ἀχιλλέος· αὐτὰρ ἀοιδῶν
Σμυρναίων ναῶν σύγχυσιν ἐν πελάγει·
Τὸν δὲ λέχος ἀπασίως εἴσιδε πηνελόπη.

Εἰς τὸν αὐτόν.

Εἰ θεός ἐστιν ὅμηρος, ἐν ἀθανάτοισι σεβέσθω·
Εἰ δ' αὖ μὴ θεός ἐστι, νομιζέσθω θεὸς εἶναι.

Εἰς τὸν αὐτόν.

Εὗρε φύσις, μόλις οἶδε· τεκοῦσα δ' ἔπαυσατο μόχθων,
Εἰς ἕνα μοῦνον ὅμηρον ὅλον τρέψασα μυρίνην.

Εἰς τὸν αὐτόν.

Τίς ποθ' ὁμήρειης μεγάλης ὁπόθεν ἐστὶν ἀπορθής;
Τίς χθών, τίς ὃ θάλαττα μάχλον σὸν οἶδεν ἀοιδῶν;
Δῆμος ὁ χιμμερίων πανδερκέος ἄμμορος αὐγῆς

Ηχίου, ἐξίης ὄνομ' ἔκλυεν· ἔκλυεν ἀπλᾶς,
Οὐρανὸν ὑψίστερνον ἔχων ὀπικείμενον ὤμοις.

Εἰς τὸν αὐτόν.

Δι ἐξιὼν ὅ μ' ἦρε τὶω κεκαυμένῳ,
Φθονῆν ἀφῆκας τὰς ἀπορθήτους πόλεις.

ΑΝΤΙΠΑΤΡΟΥ Εἰς εἰκόνα πυνδάρου.

Νεβρείων ὁπόσον σάλπιγξ ὑπερίαχεν αὐλῶν,
Τόσσον ὑπὲρ πάσας ἔκραγε σεῖο χέλυς.
Οὐδὲ μάτην ἁπαλὸς ξουθὸς περὶ χείλεσιν ἑσμὸς
Ἔπλασε κηρόδετον πίνδαρε σεῖο μέλι.
Μαρτυς ὁ μαινάλιος κερόεις θεός, ὕμνον ἀείσας
Τὸν σόν, καὶ νομίων λησάμενος δονάκων.

ΚΥΡΟΥ Ἀπὸ ὑπάτων εἰς τὸν αὐτόν.

Πίνδαρον ἱμερόεντα πρὸς ὕδασι κῦρος ἐγείρῃ
Ὅν ὡέκα φορμίζων εἶπεν ἄριστον ὕδωρ.

ΛΕΩΝΙΔΟΥ Καρυστίνου Εἰς ἀνακρέοντα.

Πρόσθεν ἀνακρείοντα χύδην σεσαλαγμένον οἴνῳ
Θάλεο, δινωτῷ γρηϊτόν ὕδωρ λίθου,
Ὡς ὁ ῥόων λίχνοισιν ἐπ' ὄμμασιν ὑγρὰ δεδορκώς,
Ἄχει καὶ ἀγραύλων ἕλκεται ἀμπεχόναν.
Διατῶν δ' ἀρβυλίδων τὸν μὲν μίαν, οἷα μεθυπλήξ,
Ὤλεσεν· ἐν δ' ἑτέρᾳ ῥικνὸν ἄρα πόδα.
Μέλπει δ' ἠὲ βαθυλλὸν ἐφίμερον, ἠὲ μελισσᾶν,
Ἀϊόνων παλάμᾳ τὰν δυσέρωτα χέλυν.
Ἀλλὰ πάτερ δίζυσε φύλαξέ μιν· οὐ γὰρ ἔοικεν
Ἐκ βάκχου πίπτειν βακχιάχου θέραπα.

ΛΕΩΝΙΔΟΥ.

Ἰδ' ὡς ὁ θρέσβυς ἐκ μέθης ἀνακρέων
Ὑπεσκέλισαν, καὶ ὁ λῶπος ἕλκεται
Ἐς ἄγριον γύαλον. πῶν ὑβλαυτίων ὁ μῦθος
Ὅμως φυλάσσει, θάτερον δ' ἀπώλεσεν.
Μελίσδεται δὲ τὰν χέλυν Δρακρέκων
Ἤτοι βαθύλλου ἢ καλὴν μελισσέα.
Φύλαξε βάκχε τὸν γέροντα μὴ πεσεῖν.

ΕΥΓΕΝΟΥΣ.

Τὸν ζῆς μηχροῖς ἰμέρθισι στώτροφον
Λυαῖος ἀναχρέοντα, τὴν κύκνον,
Εσφηλας ὑχρῇ νέκταρος μηνδόνι.
Λοξὸν γὰρ αὐτοῦ βλέμμα, καὶ πρὸς σφυροῖς
Ριφθεῖσα λώπεις πέζα, καὶ μονόζυγες
Μέθαι ἐλέγχα σάνδαλον· χέλυς δ' ὅμως
Τὸν εἰς ἔρωτας ὕμνον ἀθρίζεται.
Α πῶτα τήρᾳ τὸν γεραιὸν θύτῃ.

Αδέσποτον εἰς τὸν αὐτόν.

Τ ηῖῶν ἀμφοτέρων με βλέπεις ἀχρεῖον ἐρώτων
Π ρέσβεω, ἴσον κούροις, ἴσον ἀδόντα κόραις.
Ομμα δέ μευ βρομίῳ βεβαρημένον, ἢ δ' ἀπὸ κώμων
Τ ερπνὰ φιλαχρίπνων σήματα πομνυχίδων.

ΔΗΜΟΧΑΡΙΔΟΣ εἰς εἰκόνα ζωγράφου.

Α ὐτή σοι πλάσσεσα φύσις πρέσβακε τυπῶσαι
Τ ὼ μιτυλίνῃ ζωγράφε παρθένα.
Γ ηγάζῃ ὃ διαυγὲς ἐν ὄμμασι· τοῦτο δ' ἀναργῶς
Δ ηλοῖ φαντασίῃ ἔμπλεον βύσσοχίης.
Α ὐτομάτως δ' ὁμαλή τε καὶ οὐ πρόσφορα κολῶσα
Σ αρξὶ ἐπιστομίῳ τῷ ἀφέλκειαν ἔχει.
Α μμιγα δ' ἐξ ἰλαροῖο καὶ ἐκ νοτεροῖο προσώπου
Μ οῦσαν ἀπαγγέλλῃ κύπριδι μιγνυμένῳ.

ΖΗΝΟΒΙΟΥ γραμματικοῦ εἰς εἰκόνα γραμματικοῦ.

Α ὐτῷ γραμματικὴν ὁ ζωγράφος ἤθελε γράψαι·
Β ίκλοσα δὲ γράψας, τὸν σκοπὸν, εἶπεν, ἔχω.

ΑΣΚΛΗΠΙΑΔΟΥ εἰς εἰκόνα Ἡσιόδου.

Α ὐταὶ ποιμαίνοντα μεταμβρινὰ μῆλά σε μοῦσαι
Ε δρακον ἐν κραναοῖς ἔρεσιν Ἡσίοδε·
Κ αί σοι καλλιπέτηλον ἐρυσταίνυσαι περὶ πᾶσαι
Ω ρξαν δάφνης ἱερὸν ἀκρέμονα·
Δ ῶκαν ὑ κρουνὸς ἑλικωνίδος ἔνθεον ὕδωρ,
Τ ὸ πλατοῦ πώλου ποσθὲν ἔκβλυσεν ὄνυξ.

Οὗ σὺ κορεσσάμῃ, μακάρων γένος, ἔργα τε μολπαῖς
Καὶ γένος ἀρχαίων ἔγραφες ἠιθέων.

Αδηλον ὡς ἀπὸ τῆς βίβλου
λυκόφρονος.

Οὐκ ἂν ἐν ἡμετέροισι, τὰ ἑξῆς ζήτει ἐν τῷ ο κεφαλαίῳ τῆς πρώτης βίβλου.

Εἰς ὀππιανόν.

Οππιανὸς σελίδεσσιν ἁλίπλοα φῦλα σϋνάψας,
Θήκατο πᾶσι νέοις ὄψον ἀπειρέσιον.

Αδηλον.

Καλλιόπη βασίλεια γεώργιον εἶπεν ἰδοῦσα,
Οὗτος ἐμὸς γενέτης γνήσιος, οὐ κρονίδης.

Αδηλον.

Ελθετε πρὸς τέμενος γλαυκώπιδος ἀγλαὸν ἥρης
Λεσβίδες ἁβρὰ ποδῶν βήματ' ἐρεισάμεναι,
Ενθα χορὸν καλὸν στήσασθ', ὕμμιν δ' ἀπάρξει
Σαπφὼ χρυσείην χερσὶν ἔχουσα λύρην.
Ολβιαι ὀρχηθμοῦ πολυγηθέος· ἦ γλυκὺν ὕμνον
Εἰσαΐειν αὐτῆς δόξετε καλλιόπης.

ΕΙΣ ΠΟΛΕΙΣ,

κεῖς κῆς

Αδέσποτον Εἰς ἡράκλειαν τὴν πόντου.

Εἰ πόλιν ἡρακλῆος ὁ μώνυμον οἶσθα καὶ ἄλλην,
Ισθι με τὴν πόντου μηδὲν ἀτιμοτέρην.

Αδέσποτον Εἰς μῶλον ἐν σμύρνῃ τῇ θαλάττῃ
ἐπικείμενον, ἐν ᾧ καὶ ὑδρεῖον.

Τίς βυθὸν ἠπείρωσε; τίς ἐν ῥοθίοισιν ἔτευξεν
Ακτὴν ἀμφιρύτην λάεσι μαρμαρέοις;
Τίς δ' ἐνὶ κύμασι τεῦξε ποτὸν πλωτῆρας ἀφύσσειν
Αὐτῶν ἐκ νηῶν χερσὶν ἀρυομένους;
Οὗτος ὁ ποικιλόμητις ἀνὴρ βενέτιος ἀμύμων,
Κτίσμασι νικήσας θησέα καὶ πέλοπα.

Εἰς φάρον ἐν τῇ αὐτῇ.

Τίς τόσον ἔργον ἔτευξε; τίς ἡ πόλις; ἢ ὅ γ' ἥρας τί;
Ἀμβρόσιος, μυλασεὺς, τὸν φάρον, ἀὐθύπατος.
Ἀδέσποτον Εἰς φάρον ἀλεξανδρείας.

Πύργος ἐγὼ ναύτῃσιν ἀλωομένοισιν ἀρήγων
Εἰμὶ, ποσιδάωνος ἀπειρέα πυρσὸν ἀνάπτων.
Κἀί με πεσεῖν μέλλοντα βαρυγδούποισιν ἀήταις,
Σῆσεν ἑοῖς καμάτοις ἀμμώνιος, ὃς βασιλῆος
Ἐσθλὸς πατήρ. κείνῳ δὲ μετ' ἄγελα κύματα ναῦται
Χαρεῦσι ἀερταίζοισιν, ἅτε κλυτῷ σὺν υἱῷ σῳζῷ.
Εἰς τὸν αὐτὸν, ἐν σμύρνῃ.

Μηκέτι δύσμηνοντες ἀμείλιχε νυκτὸς ὁμίχλῃ,
Εἰς ἐμὲ θαρσαλέως πλώετε ποντοπόροι.
Γᾶσιν ἀλωομένοις τηλαυγέα δαλὸν ἀνάπτω,
Τῶν ἀσκληπιάδων μνημοσύνῃ καμόντων.
Ἀδέσποτον ἐν ἀσσῳ.

Πᾶσα μὲν ἀξιόχῳ πόλις εὔχεται· (ἄλλο δὲ δυσὶς
Γῆμα θεοδωρείχων, ὡς θεὸς, ἡκέσατο)
Ἔξοχα δὲ κρανάῃ ῥόον ὕδατος ὤπασεν ἄσσῳ,
Πολλῶν πετρέων σκληρὰ μέτωπα τεμών.
Μηκέτι φεύγετε πτωχοὶ ἀποστροθέοντες ὁδίται,
Λημμύρῳ ψυχροῖς ὕδασιν ἀξιόχου.
Εἰς τὸ δυσὶ πύλαι ἐν βυζαντίῳ.

Οὗτος ἰουλιανὸς λαοσσόα τείχεα πήξας,
Σῆσε βέβαιον, ἑῆς σύμβολον ἀγχυπνίης,
Σφάζῃ αὐτοβίοις ἐθέλων ἀπαμύνεσθε μιαινῶν,
Ἡνεσπερίδι κρατεῖν τῆς πόλεως πολέμους.
Εἰς τὸ ἀφίδα ἐν τῇ βασιλικῇ,
ἐν βυζαντίῳ.

Τετραπόροις ἀφῖσι πόλιν θεόδωρος ἐγείρας,
Ἀξιός ἐστι πόλιν καὶ τέτρατον ἰώνιον εὑρεῖν.
Εἰς δ' ἕτερον μέρος τῆς αὐτῆς ἀφῖδος.

Ἐρρετέ σοι θεόδωρε τύχης δύσκιονα νηόν
Ἔργου κοσμήσας θαύμασι τοξοτίου,

Δῶρά τε κυδήεντα πορὼν χρυσάσπιδι ῥώμῃ,
Ἡσ ὕπατον τεῦξεν, καὶ τειστῆρχον ὁρᾷ.

Εἰς τὸν μόῦσου ἔσιαν.

Μόῦσου τὸν ἠ ἐσορᾷς κλεινὸν πόλιν, ὧ ποτε μοῦσῶν
Δεῖματο τὸν ποταμῶ κάλλος ὑπερχρεμάσας.

Ἀδηλον.

Τήκει καὶ πέτρην ὁ πολιὸς χρόνος· ἀλλ' ἀρετάων
Ἀσκληπιοδότου ὃ κλέος, ἀθάνατον.

Ὅσα καὶ οἷα πόρεν γέρα πατρίδι· τοῖς ὅτι πᾶσι
Καὶ τόδε μετρείσθω κεῖνον ἔρεισμα θόλου.

Εἰς τὴν πύλην ξυλοκρίκου ἐν βυζαντίῳ.

Θωδόσιος τόδε τεῖχος ἄνακτος καὶ ὕπαρχος ἐφᾶσε
Κωνσταντῖνος ἐτεύξαν ἐν ἡμασιν ἑξήκοντα.

Εἰς τὴν πύλην τὴν ῥηγίου ἐν βυζαντίῳ.

Ἡμασιν ἑξήκοντα φιλοσκήπτρῳ βασιλῆϊ
Κωνσταντῖνος ὕπαρχος ἐδείματο τείχεϊ τεῖχος.

Εἰς τὴν πύλην τὴν ἀργυρᾶς.

Τῇδε πύλῃ λαέσσιν εὐξέστοις ἀραρυῖαν,
Ἀμφότερον, κόσμον τε πάτρης καὶ θάμβος ὁδίταις,
Τοῦξε κλεὴς, κλεινὸς ἀγανῆς πόσις Ἠπατερείης,
Λερναίων ἀδύτων ὠκεανὸς ἀργεοφαίνης,
Τερπόμβους δώρῳσιν ἀγαυθενέων βασιλήων.

ΑΓΑΘΙΟΥ σχολαστικοῦ Εἰς σωτῆρα ἐν σμύρνῃ.

Γαῖαν ὃ βεσσῶν ἀπατήλημα, καὶ ἡ πολύολβος ἐδωδὴ,
Ἐνθάδε κρινομένη, τὴν ὥρην ὄλεατε χάειν.
Οἱ γὰρ φασιανοί τε καὶ ἰχθύες, αἵ τ' ὑπὸ ἴγδιν
Τείνιες, ἥ τε τόση βρώματος ἐξαπάτη,
Γίγνεται ἐνθάδε κώπρος. ἀπαστεύει δ' ἀγαγεῖν
Ὅππόσα πεινάλεη δέξατο λαυκανίη.
Ὅ ψὲ ὀλιγωσκὴ τις ὅτ' ἀφθονα μῆτιν ἀείρων,
Χρυσοῦ ζωστῆρος τὴν κόνιν ἐκρίατο.

Τοῦ αὐτοῦ Εἰς ὃ αὐτό.

Τί ξενάχης κεφαλὴν κεκακωμένος; ἐς τί δὲ πικρὰ
Οἰμώζῃς, μηδέων πάσχων βαρυωμένων;

Ες τί δὲ γαστέρα σεῖο ῥαπίσμασιν ἀμφιπατάσσεις,
Ἐκθλίψας δοκέων μάσακας ἐργασίμους;
Μόχθων θανατίων οὔ σοι χρέος, εἰ τόδε δαπτὶ
Μὴ τὸ ἀναλκαίου πυλὺ πρήξεταξης.
Ἀλλ' ὅτι μὴ σιδάδος φερνὰς μέγα, καὶ στόμα τέρπεις
Βρώμασιν, δύτυχίῃ κεῖνα λογιζόμενος·
Ἐνθάδε σ' ἀγκάλιξ. μοιρίδιον σ' ἀλιτήματα λαμβὰν
Ἡ γαστὴρ πίνῃ πολλάκι τυτθομένη.

Τοῦ αὐτοῦ εἰς ὃ αὐτό.

Εὖγε μάκαρ πλήθυμε γεωπόνε, σοὶ βίος αἰεὶ
Μίμνῃ, καὶ σκαπάνης ἄλγεα καὶ πενίης.
Λιπαὶ δέ σοι καὶ δεῖπνα, καὶ ἐν ξυλόχοισι καθεύδῃς,
Ὑδατος ἐμπλήσας λαμπὸν ἀμεξοπότιν·
Ἐμπης σ' ἀρτίπος ἐανὴ, καὶ ἐνθάδε βαιὰ καθεθεὶς,
Αὐτίκα γαστέρα σὴν ψηχὰς ἐλαφροτάτην.
Οὐδὲ καλαψήχης ἱερὸν ῥάχιν, οὐδέ τι μηρούς
Τύπτῃς, ἀλγεμάτως φόρτον ἀπωσάμενος
Πλήμονες οἳ πλουτοῦσι, καὶ οἱ κείνοισι σεσώντες,
Οἷς πλέον ἀρτεμίης βύσδεν εἰλαπίνη.

ΑΝΤΙΠΑΤΡΟΥ.

Τίς τόδε μοιρογλίωνος ἄπαμ δωμήσατο κύκλῳ
Λάινον ἀστυείης χῶμα σεμιδάλιος;
Ἢ ποῖοι χθονὸς υἷες ἀνυψώσαντο γιγάντες
Κείλιθμον ἐμπαπόρων ἀγχόθι πλειάδων;
Ἀκλινὲς, ἀσυφέλικτον, ἀθῳὸς ἶσον ἐείπαν
Φυρηθὲν γαίης βύρυπέδοιο βάθος.

Εἰς Σωτήρια ἐν σμύρνῃ.

Εἰ τραφερῆς πάσης ἀλιτέρμονα κύκλον ὁδεύσῃς,
Οὔποτέ μοι πινὰ χῶρον ἀρείονα τῷδε νοήσῃς,
Θέσκελον οἷ' ἔτευξεν ἀγακλέτος ἰωαννῆς,
Κυδαίνων βασίλῆαν ὅλης χθονός. ἐκ ῥοδίων γὰ
Τερπωλίῃ ἀχάρητον ἐν ἀστεῖ φῆκεν ὁμήρου.

ΜΑΚΗΔΟΝΙΟΥ.

Τ μφλῳ ὑσ' ἰωεμίεν προλῳ ωδ᾽ ἀγείτονος ἔρμου
Σ αρδᾶλέη λῠδῶν ἔξοχος εἰμι πόλις.
Μ αρτυς ἐγὼ ωεφτηλυόμιλω διὸς· οὐ γὰρ ἐλέγχω
Λ άθριον ὗα ρέης ἤθελον ἠμετέρης.
Α ὐτὴ καὶ βεθμίῳ γλυόμιλω ζοφός· ἐν δὲ κεραυνῷ
Ε δρακον θύρυτέρῳ φωτὶ φαφνόμιλον.
Γ ρώταις δ᾽ ἠμετέρησιν ἐν ὀργάσιν οἰνὰς ὀπώρη
Ο ὖθατος ἐκ βοτρύων ξανθὸν ἄμιλξε γλυκύ.
Π αύτα με κοσμήσαντο· πολὺς δέ με πολλάκις αἰὼν
Α ρεσιν ὀλβίοις θῦρε μεγαλομιλίω.

Εν τῷ πορφυρῷ κίονι εἰς ὃ

φιλαδέλφιον.

Ε ἰῶσις μιλὼ βασιλῆ μουσηλιος, ἔργα βοῶσι
Δημόσια· θεναρὶῳ ωεφγματα πίσιν ἔχει.
Μ ουσεῖον ῥώμῃ δ᾽ ἐζεφίσατο, καὶ βασιλῆος
Ε ἰκόνα θεωσείλω ἐντὸς ἔγραψε δόμων.

Εἰς ὃ αὖθ'.

Τ ιμιλὼ μουσοπόλοις, πόλεως χάριν, ἐλπίδα κυρσῶν,
Ο πλα δὲ ταῖς ἀρεταῖς, χρήματα τοῖς ἀγαθοῖς.

Εἰς ὃ αὖθ'.

Τ αῦτα λόγοις ἀνέθηκεν ἐκὼν μουσηλιος ἔργα,
Γ ισεύων καθαρῶς ὡς θεός ἐστι λόγος.

ΕΙΣ ΓΟΤΑΜΟΥΣ,

χξζ κθζ

ΣΙΜΩΝΙΔΟΥ.

Ω ἴτε δημῆτερος ωεὸς ἀνάκλοεον, ὦ ἴτε μύσαι·
Μ ηδ᾽ ὕδατος ωεσχοὰς δείδετε χιμερίους.
Τ οῖον ξενοκλῆς γὰρ ὁ λίνδιος ἀσφοδελὸς ἴμμιν
Ζ ῦγμα διὰ πλατέος τῦδ᾽ ἔβαλεν ποταμοῦ.

Εἰς ἀλφειὸν καὶ ἀρέθυσαν.

Α λφεὸς ἀρέρεν ὕδωρ, ἀρεθυσίσιον ἐστὶ δὲ θῆλυ·
Κ αὶ ποτὸν θῦρεν ἔρως, κιρναμιλῶν ὑδάτων.

ΤΥΛΛΙΟΥ ΓΕΜΙΝΟΥ Εἰς σῦριγγα.

Ἐμὲ μὲν ἐν ποταμοῖς, πελάγη δ' ἴσα μέτρα διώκω,
Σῦριγγα, ἡμάθιης δ' ὄφρα γλυκερὸν πέλαγος·
Ἔνθος ὁμοῦ καὶ ἄρουρα δι' ὕδατος. ἢν γὰρ ἐγείρω
Ὀμπνιακὸν χείτων ἠδύτερον τέλεον.
Εἰ καὶ ἡμαθίης γόνιμος βυθός· ἄμμι δὲ νῆες
Κρείατον ἔδαφος ὁ φέρων τὸν σάκχαρον, οὐχ ὁ τρέφων.

ΑΓΑΘΙΟΥ σχολαστικοῦ εἰς γέφυραν τοῦ σαγγαρίου.

Καὶ σὺ μὲν ἐμπείρου ὑψαύχενα, καὶ μετὰ μηδῶν
Ἔθνεα, καὶ πᾶσαν βαρβαρικὴν ἀγύιην,
Σαγγάριε, κρατερῇσι ῥοαῖς ἀμφῖσι πεδηθείς,
Αὐτὸς ἐδουλώθης χειρὶ παλαμῇ.
Ὅρκιον ὃ σκαφέεσσιν ἀνέμβατος, ὃ πρὶν ἀτειρὴς,
Κῦμα λαϊνέῃ σφιγκὶς ἀλυκλοπέδῃ.

ΕΙΣ ΠΡΟΑΣΤΕΙΑ, κε λζ

ΚΩΜΗΤΑ χαρτουλαείου.

Εἰπέ νομεύ, τίνος εἰσὶ φυτῶν σίχες; αἱ μὲν ἐλαῖαι,
Πάλλαδος· αἱ δὲ πτελέαι μελίδες, βεγμίου.
Καὶ τίνος οἱ σάκχαρες; δημήτερος. ἄνθεα ποίων
Εἰσὶ θεῶν; ἠρῆς, καὶ ῥοδέης παφίης.
Πᾶν φίλε, πυκλίδα μίμνε τεοῖς ὑπὸ χείλεσι σύρων.
Ἦ γὰρ δὴ θείοις σὺν θαλοπέδοις.

ΑΡΑΒΙΟΥ σχολαστικοῦ.

Ὑδασι καὶ κήποισι καὶ ἄλσεσι καὶ διψύσῃ,
Καὶ πόντου πλήθῳ γείτονος εὐφεσσύνῃ.
Τερπνὰ δέ μοι γαίης τε καὶ ἐξ ἁλὸς ἀμφοτέρωθεν δῶρα,
Καὶ γειτιόωντος ἠγενόμου.
Τοὺς δ' ὑπ' ἐμοὶ μίμνοντας, ἢ ὀρνίθων τις ἀείδων,
Ἢ γλυκὺ πορφυρέων φθόγμα μελῳδὸς ἔχει.

ΜΑΡΙΑΝΟΥ σχολαστικοῦ Εἰς ἕτερον τοιοῦτον ὀνομαζόμενον ἔρωτα ὑπ' ἀμαθείας.

Ἦ καλὸν ἄλσος ἔρωτος, ὅπου καλὰ δένδρεα ταῦτα
Γρηῢς ὑπὸ πτελέων ἀμφιδυῆ ζέφυρος.

Ηχὶ καὶ ἑρσήεις ἀμβρύσεται αἰθέσι λήμων,
Πουλιὼ ἰοειφανέων κόσμον ἀειρόμενος καλύκων·
Καὶ γλυκερῆς τείσουχος ἐπιβαδὸν ἠῶος ὅπ' ἀὴρ
Μαιὸς ἀναθλίβῃ χεύματα νηϊάδος,
Ὁππόθι δενδρήεντα γλῶν πτύσσηται ἴουις
Χῶρον ἀμαδρυάδων ἔνδιον ἀβρεχέμων.
Καὶ λιπαρῆς εὐβοτείων ἀὴν ὀργάδα καρπὸς ἐλαίης
Θήῃ, ἐείσα φύλων πώτοσι φλοιπέδαν.
Αἱ δὲ πέριξ λαλαγεῦσιν ἀηδόνες. ὃς δὲ μυίζῃ
Ἀντρώδη τέτριξ φθέγματος ἁρμονίαν.
Ἀλλά τόν ἀκλήιστον ὅπως ξένε μή με παρέλθῃς
Τόνδε δόμον, λιτῆς δ' αἰτίασον ξενίης.

Τοῦ αὐτοῦ Εἰς ὃ αὖθι.

Δεῦρ' ἴθι, βαθὺ δ' ὑπὸ πεσὼν ἰτέων δάσκιον ἄλσος,
Ἄμπαυσον καμάτου γυῖα πολυπλανέος,
Χῶρον ὅπου πλατάνων αὐτόῤῥυτον ἐς μέσον ὕδωρ
Κλαδὶ πολυκροτάλων ἐκφορέῃ σομφῷ.
Ὁππόθι πορφυρέης ὑπὸ αὐλακος εἴαρι θάλλῃ
Υἱηὶν ἴον, ῥοδέῃ κιρνάμενον κάλυκι.
Ἠνὶ δὲ πῶς δροσερῷο πέδον λήμωνος ἔρεψεν,
Ἐκχυτον ὐχαίτης κιανὸς ἔπλεξε κόμης.
Ἐνθάδε καὶ ποταμὸς λασίῳ ὑδαμείβεται ἄλσει,
Πέζαν ὑποξύων αὐλοφύτου νάπης.
Οὗτος ἔρως. τί γὰρ ἄλλο καὶ ἔρπεν οἰώμα χώρῳ
Πάντοθεν ἰμερτῶν πλησιμόλῳ χαρίτων;

ΕΙΣ ΕΙΚΟΝΑΣ ΡΗΤΟΡΩΝ, ϡξ λα

Ἀδέσποτον Εἰς εἰκόνα Θωλεμαίου ἐν αὐτοχείρ.

Εἰκών, τίς σ' ἀνέθηκε; λόγοι. τίνος εἶ; Θωλεμαίου.
Ποίου; τοῦ κρητός. τεῦ χάριν; αὐτ' ἀρετῆς.
Τῆς ποδαπῆς; πάσης. τῆς ἐς τίνας; ἐς διχολέκτας.
Καὶ ξύλον ἄρκει; ναί. χρεῖον οὐ δέχεται.

ΑΡΑΒΙΟΥ σχολαστικοῦ.

Εἰκόνα λοξγίνῳ χρυσέην πόλις εἶχεν ὀπάσσαι,
Εἰ μὴ πότνα δίκη χρυσὸν ἀπεστρέφετο.

ΘΩΜΑ σχολαστικοῦ.

Ρητορικῆς φιλέω τρεῖς ἀστέρας, οὕνεκα μοῦνοι
Πάντων ῥητήρων εἰσὶν ἀρειότεροι.
Σεῖο πόνους φιλέω δημόσθενες· εἰμὶ δὲ λίην
Καὶ φιλαριστείδης καὶ φιλοθουκυδίδης.

ΜΙΧΑΗΛΙΟΥ γραμματικοῦ.

Ἡ πόλις ἀγαθίαν τὸν ῥήτορα τὸν στιχαοιδὸν,
Δίζυγος εὐεπίης ῥυθμὸν ἀγασσαμένη,
Ὡς μήτηρ ἐτέλεσσεν ἐφ' υἱέϊ, καὶ πόρε τήνδε
Εἰκόνα καὶ τοργῆς μάρτυρα καὶ σοφίης.
Μεμνόνιον ἢ τοκῆα, κασίγνητόν τε σὺν αὐτῷ
Ἔστησεν, γενεῆς σύμβολα σεμνοτάτης.

ΠΑΛΛΑΔΑ.

Κωφὸν ἀναυδὸν ὁρῶν τὸν γέσσιον, εἰ λίθος ἐστὶ
Δήλιε μαντεύου, τίς τίνος ἐστὶ λίθος.

Εἰς εἰκόνα ῥήτορος ἀφυοῦς.

Τίς σε τὸν οὐ λαλέοντα τύπῳ ῥητῆρος ἔγραψε;
Σιγᾷς; οὐ λαλέεις; οὐδὲν ὁμοιότερον.

Εἰς τὸ αὐτό.

Εἰκόνες ἀνθρώποισι φίλον γέρας· ἀλλὰ μαρίνῳ
Ὕβρις, ἐλεγχομένης εἴδεος ἀπρεπίης.

Εἰς ἄγαλμα ἀριστείδου τοῦ ῥήτορος.

Νεῖκος ἀριστείδης ἰάδων κατέπαυσε πολήων,
Τὸ πρὶν ὁμηρείης εἶχον ὑπὲρ γενεῆς.
Φασὶ γὰρ πᾶσαι, σμύρνη τέκε θεῖον ὅμηρον,
Ἡ καὶ ἀριστείδην ῥήτορα γειναμένη.

Ἄδηλον.

Εἰκὼν καλλίστου τοῦ ῥήτορος· οἱ δὲ παρ' αὐτὴν
Ἐρχόμενοι, ἑρμῇ σπένδετε τῷ λογίῳ.

Αδηλον.

Φύρμος με φύρμον, πυρφόρος τὸν πυρφόρον,
Ο παῖς ὁ ῥήτωρ, τὸν πατέρα τὸν ῥήτορα.

ΕΙΣ ΣΚΕΥΗ, κεϛ λβϛ

ΓΑΥΛΟΥ σιλεντιαρίου εἰς κωνωπε ῶνα.

Οὐ βριαρόν τινα θῆρα, καὶ οὔτινα πόντιον ἰχθὺν,
Οὐ πτερὸν ἀγρεύω πλέγμασιν ἡμετέροις,
Αλλὰ βροτοὺς ἐθέλοντας. ἀλεξήτειρα δὲ τέχνη
Ανέρα μυιάων κέντρον ἀλευόμενον,
Εκ θαλίης ἀβρῶτα μεσημβριάοντα φυλάσσει,
Οὐδὲν ἀφαυροτέρη τείχεος ἀςυόχου.
Υπνου δ' ἀςυφέλικτον ἄγω χάριν. ἀλλὰ καὶ αὐτοὺς
Δμῶας μυιοσόβου ῥύομαι ἀτμενίης.

Τοῦ αὐτοῦ εἰς τὸ αὐτό.

Κληϊγάμοις λέκτροις περικίδναμαι· εἰμὶ δὲ κεδνῆς
Δίκτυον οὐ φοίβης, ἀλλ' ἁπαλῆς παφίης.
Ανέρα δ' ὑπνώοντα μίτῳ πολύωπι καλύπτω,
Ζωοφόρων ἀνέμων οὐδὲν ἀτεμβόμενον.

Αδηλον.

Πλέγμασι μὲν σκοπός ἐςι περισφίγξαι πετεηνῶν
Εθνεα, καὶ ταχινοὺς ἔνδοθεν ὀρταλίχους·
Αὐτὰρ ἐγὼ σεύειν ἐπιτέρπομαι, οὐδὲ καλύπτω
Ενδοθεν, ἀλλ' εἴργω μᾶλλον ἐπειγομένους.
Οὐδέ με τὶς λήσει (καὶ εἰ βραχὺς ἔπλετο) κώνωψ,
Ημετέρης διαδὺς πλέγμα λινοςασίης.
Ορνεά που σώζω· μερόπεσσι δὲ λέκτρα φυλάσσω·
Ηρά τις ἡμείων ἐςὶ δι καιότερος;

Τοῦ αὐτοῦ εἰς τάβλαν.

Εζόμενος μὲν τῇδε πρὸς εὐλαΐγγι τραπέζῃ,
Παίγνια κινήσεις τερπνὰ βολοκλυπίης.
Μήτε δὲ νικήσας μεγαλίζεο, μήτ' ἀπολειφθεὶς
Αχνυσο, τὴν ὀλίγην μεμφόμενος βολίδα.
Καὶ γὰρ ἐπὶ σμικροῖσι νόος διαφαίνεται ἀνδρός·
Καὶ κύβος ἀγγελέει βένθος ἐχεφροσύνης.

Τοῦ αὐτοῦ εἰς τὸν αὐλητήν.

Γ άμμια μὲν τάδε πάντα· τύχης δ' ἑτεροζόπος ὁρμὴ
Τ ᾶς ἀλόγοις ταύταις ἐμφέρεται βολίσιν.
Κ αὶ βεβτέου βιότου σφαλερὴν μίμημα νοήσας,
Ν ιῶ μοῦνα παρῳδοῦμεν, νιῶ δ' ἀπολὶς πόμενος.
Α ἰνέομεν δὴ κεῖνον ὃς ἐν βιότῳ τε κύβῳ τε,
Χ αρμάτι καὶ λύπῃ μέτρον ἐφηρμόσατο.

Τοῦ αὐτοῦ εἰς τὸν αὐλητήν.

Τοῖς μὲν παρηυγόμαις τάδε παίγνια· τοῖς δ' ἀκολάστοις,
Λ ύσσα καὶ ἀμπλακίη καὶ πόνος αὐτόματος.
Α λλὰ σὺ μὴ λέξῃς τι δημάχον ὕστατος ἕρπων.
Μ ηδ' αἱρεσιοδόκης ῥινοβόλῳ πατάγῳ.
Δ ῶ γὰρ μήτε πονῆν ἐν ἀθύρμασι, μήτέ τι παίζειν
Ε ν σπουδῇ· χαίρῳ δ' ἰδιοπεμπὲς τὸ πρέπον.

ΙΟΥΛΙΑΝΟΥ ἀπὸ ὑπάρχων εἰς φιάλλιον
ἔχουσαν κινουμένους ἰχθύας.

Ο ὕτω βάκχον ἔδεκτο θέτις· νιῶ μῦθος ὁμήρου
Ο ὐ μόνον ἀλλ' ὄψιν πίστιν ἐτητυμίης.

Τοῦ αὐτοῦ εἰς ἀρχοντικὸν πέλεκυν.

Η ν μὲν ἀλιτρομήνης, πέλεκυν βλεφάροισι δοκεύων·
Η ν δὲ σοφροσύνης, ἄργυφός εἰμι μόνον.

Εἰς κάγκελον οἰκίας.

Η ν κλείσῃς μ', αὐλίζομαι· ἢν ἐῶ οἴξῃς, κλείσομαι αὖτε·
Τ οῖος ἐὼν, τηρῶ σὸν δόμον οὐ δυνάμαι.

Εἰς μνσῶον ἔχον τὰ δώδεκα ζῴδια,
καὶ ἕτερα.

Α ργύρεος πόλος οὗτος, ὅπῃ φαέθοντα σελήνη
Δ έρκεται, αἰτιτύπτων πιμπλαμένη φαέων.
Α πλανέες δ' ἑκάτερθε, καὶ ἀντιθέοντες ἀλῆται
Α νδρομέης ψυχῆς πᾶσαν ἀγοισι τύχην.

ΜΕΣΟΜΗΔΟΥ.

Τ αὶ ὕελον ἐκάμιζε κόψας ἐργάτας αὐήρ,
Ε ς δὲ πῦρ ἔδηκε βῶλον, ὡς σίδηρον δύαθενῆ·
Α λ' ὕελος οἵα κηρὸς ἐξεχεῖτο παμφάγοισι

Φλοξὶν ἐκπεμπούμβαισι θαῦμα δ' ἦν ἰδεῖν βροτοῖς
Ὁλκὰν ἐκ πυρὸς ῥέοντα, καὶ τὸν ἐργάτην
Τρέμοντα, μὴ πεσὼν διαῤῥαγῇ.
Ἐς δὲ δισπύχων ἀκμαὶς χαλκέων ἔθηκε βῶλον.

ΑΣΚΛΗΠΙΑΔΟΥ Εἰς δίσκον.

Ἡ φαῖστός μ' ἐτέλεσε καμφὶν χερόνῳ· ἀλλὰ κυδρὴ
Ἀνδρὸς ἑοῦ θαλάμων εἵλετο λαθριδίως·
Ἀγλαΐη δ' ἔπορε χρυσείης μνημήιον ὐνῆς.
Καί μ' ἀσκληπιάδης δῶρε πρὸ αἰνεάδαις.

Ἀδήλου.

Ἡ χαφὶς, ἀργυρέη μὲν ὅτ' ἐκ πυρὸς ἦλθον, ἐτύχθην.
Σαῖσι δὲ καὶ χρυσέη γίνομαι ἐν παλάμῃς.
Ὦ δέσποι' ὦ χαρίεσσα λεόντιον, ὦ μεδέουσα
Τέχνης, ὦ δεῖδις ἄκρα δέδωκε κύπρις.

ΣΑΜΜΙΟΥ.

Πρόσθε μὲν ἀγραύλοιο Διὸς τειχὶς ἐξάλου αἰγὸς
Δοιὼ ὀπὶ χλωρῆς ἐστεφόμην πεπάλοις·
Νῦν δέ με νικήσασα χερὶ ξόος ἥρμοσε τέκτων
Ἐν πανύσσαις ἕλιξι καρτερὰ νῶτα βοός.

Εἰς μινσώ ἐλον ἔχον ἀφροδίτῃ καὶ
ἔρωτας.

Τέσσαρές εἰσιν ἔρωτες· ὁ μὲν, στέφος ἀμφὶ κάλυκι
Μήδεος ἑῆς· ὁ δὲ, χεῖλος ἔχει ποτὶ πίδακι μαζοῦ·
Οἱ δὲ δύω παίζουσι πρὸ ἴχνεσιν. Εἷς δὲ κρύπτει
Μηρῷ γείτονα χῶρον ὅλης γυμνῆς ἀφροδίτης.

Ἀδέσποτον.

Βάκχῳ καὶ νύμφαις μέσος ἵσαμαι· ἐν δὲ κυπέλλοις
Ἀεὶ τόνδε χέω τὸν θαλερὸν πόθον.

Ἀδέσποτον.

Χάλκεύς ποτε τὸν ἔρωτα μεταλλάξας, ἐποίησε
Τήλεμον· οὐκ ἀλόγως, ὅτι καὶ αὐτὸ φλέγει.

ΦΙΛΙΠΠΟΥ.

Ἀδρὶ κύοις κύτεος λαμὸς ἐπάλαι μελίγηρες,
Ἀνίκ' ἐγαστροφόρεσσι βακχιακαῖς χάρισι,

Νῦν κλασθεὶς, κεῖμαι νεοθηλέϊ καρτερὸν ἕρκος
Κλήματι, πρὸς τρυφερὴν τεινομένῳ καλύβην.
Αἰεί τι βρομίῳ λατρεύομεν. ἢ γραὸν γὰρ
Φρουροῦμεν πιστῶς, ἢ νέον ἐκτρέφομεν.

ΕΙΣ ΦΙΛΟΣΟΦΟΥΣ

κεῖτ' λυτ'

ΙΟΥΛΙΑΝΟΥ ἀπὸ ὑπάρχων εἰς ἀνδριάντα πυθαγόρου.

Οὐ τὸν ἀναπτύσσοντα φύσιν πολύμητιν ἀριθμῶν
Ἤθελεν ὁ πλάστης πυθαγόρην τελέσαι,
Ἀλλὰ τὸν ἐν σιγῇ πινυτόφρονι. καὶ τάχα φωνὴν
Ἔνθεν ἀποκρύπτει, καὶ τόδ' ἔχων ὀπάσαι.

Εἰς τὸν αὐτό.

Αὐτὸν πυθαγόρην ὁ ζωγράφος· ὃν μετὰ φωνῆς
Εἶδες ἄν, εἴγε λαλεῖν ἤθελε πυθαγόρης.

ΙΩΑΝΝΟΥ ποιητοῦ τοῦ βαρβουκάλλου εἰς εἰκόνα σωκράτους.

Ὡς σοφὸς ὁ γράψας, ζωὰν οὐκ ἔμβαλε κηρῷ,
Σωκράτεος ψυχᾷ τοῦτο χαριζόμενος.

Τοῦ αὐτοῦ εἰς εἰκόνα.

Ζωγράφε, τὰν μορφὰν ἀπομάξας, αἴθ' ἑνὶ κηρῷ
Καὶ ψυχὰν ἐδάης σωκρατικὰν βαλέειν.

Εἰς εἰκόνα πλάτωνος.

Τὸν νοῦν διδάσκων αἰθερεμβατεῖν πλάτων,
Τοὺς τῶν ὑπὲρ νοῦν ἐξερεύγεται λόγους.

Εἰς εἰκόνα ἀριστοτέλους.

Οὗτος ἀριστοτέλης, μετρῶν χθόνα καὶ πόλον ἄστρων.

Εἰς τὸν αὐτόν.

Νοῦς καὶ ἀριστοτέλους ψυχὴ, τύπος ἀμφοτέρων εἷς.

ΑΓΑΘΙΟΥ σχολαστικοῦ εἰς εἰκόνα πλουτάρχου.

Σεῖο πολυκλήεντα τύπον στήσαντο χερῶνεῦ
Πλούταρχε, κρατερῶν υἱέες αὐσονίων·

Ὅτι πρὸ τῆς ἡλίου βίοις ἑλλιτῶας ἔρισσες
Ῥωμῆς θὺ πολέμοις ἥρμοσας ἐναέτας.
Ἀλλὰ τεοῦ βιότοιο πρὸ τῆς ἡλίου βίον ἀῆρον
Οὐδὲ σύ γ' αἰγράψαις· οὐ γὰρ ὅμοιον ἔχῃς.

Τοῦ αὐτοῦ εἰς εἰκόνα αἰσώπου.

Εὖγε ποιῶν· λύσιππε, γέρων σικυώνιε πλάστα,
Δείκελον αἰσώπου ἔπλασο τὸν Φρυγίου,
Ἔνθα τὸ σοφὸν ἔμπροσθεν· ἐπεὶ κενοὶ μυθοὶ ἀνάγκην
Ἐμβάλλουσι πίθῳ φθέγμασι τοῖς σφετέροις·
Ὃς δὲ, σοφοῖς μύθοις καὶ πλάσμασι κέντρα λέξας,
Παίζων, ἐν ἀκουῇ πείθῃ ἐχεφρονέειν.
Φυκλίδη δ' ἡ τέχνη πρὸ τῆς ἡλίου δὲ
Τὸ γλυκὺ τοῦ μύθου καλὸν ἔχει δέλεαρ.

ΑΝΤΙΦΙΛΟΥ βυζαντίου εἰς δρῆλλαν.

Ἡ πήρη καὶ χλαῖνα, καὶ ὕδατι πλησθεῖσα
Μάζα, καὶ ἡ τοῦ ποδῶν ῥάβδος ἐρημοδρόμου,
Καὶ δέπας ἐκ κεράμοιο, σοφῷ κυνὶ μέτρα βίοιο
Ἄρκια. κἠν τούτοις ἴδῃ τι θεοειδέστερον·
Κοίλαις γὰρ πόμα χερσὶν ἰδὼν ἀρύοντα βοώτην,
Εἶπε, τί καὶ σὲ μάτην ὄφρακον ἠνοφόρεσας;

Τοῦ αὐτοῦ εἰς τὸν αὐτόν.

Γηρασκὴ καὶ χαλκὸς ἐτὼ χρόνου· ἀλλὰ σὸν οὔτι
Κῦδος ὁ πᾶς αἰὼν δρήσσεται καθελών.
Μοῦνος γὰρ βιοτῆς αὐταρκέα δόξαν ἔδωξας
Θνητοῖς, καὶ ζωῆς οἶμον ἐλαφεστάτην.

ΕΙΣ ΩΡΟΛΟΓΙΑ,
ΧΞΖ ΛΗΖ

Εἰς τὴν βάσιν τοῦ ὡρολογίου τοῦ εἰς τὴν ἀψῖδα τὴν εἰς τὴν βασιλικήν.

Δῶρον Ἰουστίνοιο τυραννοφόνου βασιλῆος,
Καὶ σοφίης ἀλόχου, φέρλος ἐλθὼν εἶπε,
Ὡραίων σκηπτοῦχε σοφὸν σημάντορα χαλκὸν,
Αὐτῆς ἐκ μονάδος μέχρι δυωδεκάδος.

Οντῖνα συληθέντα, δίκης θρόνον ἡνιοχεύων
Εὗρεν ἰουλιανὸς χερσὶν ἀδωροδόκοις.

Ἀδέσποτον εἰς ἕτερον.

Ὡρανὸν ἁ χωρεῦσα σοφὰ λίθος, ἁ διὰ τυτθοῦ
Γνώμονος ἀελίῳ πάντι μερισδομένα.

ΓΑΥΛΟΥ σιλεντιαρίου εἰς ἕτερον δι' ὕδατος.

Ἐνθάδε μιστύλλουσι δρόμον φαεθοντίδος αἴγλης
Ἀνέρες, ὡράων ἀμφὶ δυωδεκάδι.
Ὕδασι δ' ἠελίοιο ταλαντεύουσι κελεύθους,
Ἐς πόλον ἐκ γαίης μῆτιν ἐρεισάμενοι.

Ἀδέσποτον εἰς ἕτερον.

Κῆπος ἔην ὅδε χῶρος· ἀπὸ σκιερῶν δὲ πετήλων
Νυκτοφανὴς τελέθων ἔσκεπεν ἠέλιον·
Νῦν δὲ πάναι γλήεντα καὶ εὔδιον εὗρε τελέσσαι
Σέργιος αὐτόπτης μυστοπόλος τριάδος,
Ἔνθα λίθος στατὸς οὗτος ἀειδίνητον ἀνάγκην
Ἑπτάκις ἀγγέλλει ἄντυγος οὐρανίης.

Ἄδηλον.

Μηχανικὴ φαέθοντα βιάζεται ἁρμονικοῖσι
Γνώμοσιν ἀγρεύειν τὸν δρόμον ἠελίου.
Βαιὸς δ' ἀμφιέπει λίθος ἄντυγας ἠριγενείης,
Ὡρονόμῳ σοφίῃ καὶ σκιόεντι τύπῳ.
Σεργίου ἀρχιερῆος ἐπουρανίῃσιν ἐφετμαῖς
Τοῦτο συνειργάσθη ἔργον ἐπιχθονίων.

Ἄδηλον.

Σῆμα δυωδεκάμοιρον ἀφεγγέος ἠελίοιο
Τρισσάκις ἀγλώσσῳ φθεγγόμενον στόματι,
Εὖτ' ἂν θλιβομένοιο ποτὶ στενὸν ὕδατος ἀνὴρ
Αὐλὸν ἀποστείλῃ πνεῦμα διωλύγιον,
Θῆκεν ἀθηναῖος δήμῳ χάριν, ὡς ἂν ἐναργὴς
Εἴη κὴν φθονεραῖς ἠέλιος νεφέλαις.

ΤΑ ΕΝ ΤΩ ΓΕΜΓΤΩ
τμήματι παρειλήφθω.

Εν τῷδε τῷ πέμπτῳ τμήματι παρείληται ἔκφρασις χειροδώρου ποιητοῦ ἡβαΐου κηπίου, τῶν ἀγαλμάτων τῶν εἰς ὃ δημόσιον γυμνάσιον, ὃ ὄπικα λούμενον τὸ ζευξίππου· ἔτι δὲ καὶ τὰ ἐπιγράμματα τῶν ἐν τῷ ἱππωδρόμῳ κωνσταντινουπόλεως ἡνιόχων.

ΑΝΘΟΛΟΓΙΑΣ
διαφόρων ἐπιγραμμάτων, εἰς ἑπτὰ βιβλία διηρημένης, τὸ πέμπτον.

Εἰς Δηΐφοβον.

Δηΐφοβος μὲν πρῶτος ἐϋκλύπτῳ ὑπὸ βωμῷ
Ἰσατο τλημέτις, κεχαρυθμένος, ὄβριμος ἥρως,
Τοῖος ἐὼν οἷος περ ἐπ' ἐρυμνῷ μαιμακτῷ
Περδομένων ἰώπησεν ἑῶν πρεσπάριθε μηλάδεσιν.
Ἰσατο δ' ἀντιβίοντι πανείκελος· οὐδὲ τύπῳ κόσμῳ
Δόχμιος ἰών, μαρμὴν δὲ κεκυφότα νῶτα σιωπῇ κων,
Δριμὺ μένος ξυναγείρων. ἕλιπε δ' φέρτος ὀπωπῆς
Οἷά τ' δυσμενέων μερόπων πεφυλαγμένος ὁρμήν.
Λαιῇ μὲν σάκος οὖρον προβέβλητο· δεξιτερῇ δὲ
Φάσγανον ὑψόσ' ἄειρεν. ἔμιμνε δὲ μαιμώωσι χεὶρ
Ἀνέρος αἰπείου κεφαλῆς ἄορ ἐλάσσειν·
Ἀλλ' οὐ χαλκὸν ἔθηκε φύσις πειθήμονα λύσσῃ.

Εἰς ἀρχίνιον ῥήτορα καὶ εἰς ἀριστοτέλιον.

Κεκροπίδης δ' ἤρατο νοήμονος αἴθρα πειθοῦς
Ἀρχίνης· λαοῖσι δὲ σιωπηρὸν κύκλα πρέπεν,
Οἷα πολυδιψάλοισιν ἀεθλοθόων ἀγορῆσι.
Στείνετο γὰρ πυκιναῖσι μενεδόσιν. ἄγχι δ' ἐκείνου
Ἦεν Ἀριστοτέλης, ὄφιος πρέσμος. ἰσάριθμος δὲ,
Χθρε πλεκτάνῃσιν συνεργάθεν. ἀμφὶ δὲ χαλκῷ

Α φθόγξω φρένας εἶχεν ἀεργέας, ἀλλ' ἔτι βουλὴ
Σ κεδομήφω μὴ εἴκλο· σὺν ισάμῃαι δὲ παρφαὶ
Α νέρος ἀμφιέλιαθμ ἐμμετεύοντο μηνοινίῳ,
Καὶ ϑχαλαὶ σήμηνον ἀολλέα μῆτιν ὀπωπαί.

Εἰς δημοσθένην.

Κ αὶ παμαπιέων δημηγέρος ἔωρεπε σάλπιγξ,
Ρ ήτης βυκελάδοιο, πατὴρ ϑφὸς, ὃ φρὶν ἀθυμίας
Γ φοις ϑελξινόου νοήμονα πυρσὸν αἰάψας,
Α λλ' οὐκ ἠρεμέων διεφαίνετο, πυκνὰ δὲ βουλὴ
Ε γρώφα· πυκνὶῳ γὸ ἐείδετο μῆτιν ἑλίσσειν,
Ο ἷα κατ' οὐόπλων τεθωμηχὸς ἠμαθίων.
Η πάχα κεν κοτέων ϑχαλὶῳ ἐφθέγξετο φωνὶῳ,
Α πνοον αὐδήεντα λιθεὶς τύπον· ἀλλά ἑ τέχνη
Χθηκείης ἐπέδησεν ὑπὸ σφρηγῖδι σιωπῆς.

Εἰς βυζαντίδιον.

Ι σαρ σὴ βυζαντὸ φερώνυμος· ὡς δὲ δοκεύω,
Λ άθρη ὑπὸ κεφάλην τεχνικῆς ὠμίλεε μούσης,
Ε ργα ϑεοφεσσύνης διανθέμενος· ἰὼ γὸ ἰδέσθαι
Ο ἷά τε που ϑυμῆσιν ἐν ἀϊθίοις ϑύρσα βακάτων.

Εἰς παλαίφατον.

Δάφνη μὲ πλοκαμῖδα παλαίφατος ἔωρεπε μάρτις
Σ τεφόμενος· δόκεεν δὲ χέειν μεμετώδεα φωνίῳ.

Εἰς ἡσίοδον, καὶ εἰς πολύφδον μάντιν, καὶ εἰς σιμωνίδιον.

Η σίοδος σὴ ἀσκραῖος ὀρφαίσιν εἴδετο μούσαις
Φ ηξὶ ϑόμβος, χαλκὴν σὴ ἐδιάζετο ϑυμὸν λύρην
Ε νθεον ἰμείρων αἰάγμν μῆλος. ἐξ ὑλὴ σὴ αὐτὸ
Μ αντιπόλος πάλιν ἀῆλος ἐὼν φοιβηΐδι δάφνῃ
Κ οσμηθεὶς πολύφδος. ἀπὸ σομῦχ δὲ ϑναέξαι
Η ϑελε μὴ κελάδημα ϑεοπρεπὲς· ἀλλά ἑ τέχνη
Δ εσμῷ ἀφωνήτῳ κατερήτυεν. οὐδὲ σὺ μολπῆς
Ε ὼσας ἀϊδρὲν ἔρωτα σιμωνίδη, ἀλλ' ἔτι χορδὴς
Ι μείρῃς, ἱερὴν δὲ λύρην οὐ χερσὶν ϑράσσεις.
Ω φέλεν ὁ πλάσας σε σιμωνίδη, ὦ φέλε χαλκῷ

Συγκεράσαι μέγος ἡδύ. σὲ δ' ἀν' ἠὼ χαλκὸς ἀναυδὴς
Αἰδόμενος ῥυθμοῖσι λύρης ἀνήχεε μολπήν.

Εἰς ἀναξιμένην.

Ἦν μὲν ἀναξιμένης νοερὸς σοφός, ἐν δὲ μενοινῇ
Δαιμονίης ἐλέλιζε νοήματα ποικίλα βουλῆς.

Εἰς κάλχαντα.

Θεστορίδης δ' ἄρα μάντις εὔσκοπος ἵστατο κάλχας,
Οἷά τε θεσπίζων. ἐδόκει δέ τε θέσφατα κεύθειν,
Ἡστρατὸν οἰκτείρων ἡγεμόνιον, ἢ ἔτι θυμῷ
Δειμαίνων βασιλῆα πολυχρύσοιο μυκήνης.

Εἰς πύῤῥον, τὸν καὶ νεοπτόλεμον.

Δέρκεό μοι σκύμνον πτολιπόρθιον αἰακιδάων
Πύῤῥον ἀχιλλείδην, ὅσον ἤθελε χερσὶν ἑλίσσειν
Τεύχεα χαλκήεντα, τὰ μή οἱ ὤπασε τέχνη·
Γυμνὸν γάρ μιν ἔτευξεν. ὁ δ' ὑψόσε φαίνετο λεύσσων,
Οἷά περ ἠνεμόεσσαν ἐς ἴλιον ὄμμα τιταίνων.

Εἰς ἀμυμώνην τοῦ δαναοῦ θυγατέρα.

Ἧστο δ' ἀμυμώνη ῥοδοδάκτυλος· εἰσοπίσω μὲν
Βόστρυχον ἀκρήδεμνον ἑῆς συνέεργεν ἐθείρης.
Γυμνὸν δ' εἶχε μέτωπον· ἀναστέλλουσα δ' ὀπωπὰς
Εἰνάλιον σκοπίαζε μέγα γχαίτην παρακοίτην.

Εἰς ποσειδῶνα.

Εγγύθι δ' εὐρύστερνος ἐφαίνετο κυανοχαίτης,
Γυμνὸς ἐών· πλόκαμον δὲ καθειμένον εἶχεν ἐθείρης·
Καὶ διερὸν δελφῖνα προΐσχετο, χειρὶ κομίζων
Δῶρα πολυζήλοιο γάμων μνηστήρια κούρης.

Εἰς σαπφώ.

Πιερικὴ δὲ μέγισσα λιγύθροος ἕζετο σαπφὼ
Λεσβιὰς ἠρεμέουσα· μέγος δ' ἔνυμνον ὑφαίνειν
Σιγαλέαις δοκέεσκεν ἀναψαμένη φρένα μούσαις.

Εἰς ἀπόλλωνα.

Φοῖβος δ' εἱστήκει τριποδιλάλος· ἠὼ δ' ἄρα χαίτης
Εἰσοπίσω σφίγξας ἄδετον πλόκον· ἀλλ' ἐνὶ χαλκῷ

Γυμνὸς εἶμι, ὅτι πᾶσιν ἀφεσμένοισιν Ἀπόλλων
Γυμνώσας δεδάηκεν ἀληθέα δίκεα μοίρης.
Ἢ ὅτι πᾶσιν ὁμῶς ἀναφαίνεται· ἠέλιος γὰρ
Φοῖβος ἄναξ, καθαρὸν ὃς φέρει τηλεσκόπον αἴγλην.

Εἰς ἀφροδίτην.

Ἀκτὶ δὲ κούρειᾳ ἔλαμπεν· ἔλιφθε δὲ νώροπι χαλκῷ
Ἀγλαΐης ῥαθάμιγγας. ἀπὸ στέρνοιο δὲ γυμνὴ
Φαίνετο μαζός, φᾶρος δὲ σιωπηλὰ πίτνα μηρῶν,
Χρυσείῃ πλοκαμῖδας ὑποσφίγξασα καλύπτρῃ.

Εἰς κλυνίδιον.

Κλυνιδίῳ δὲ τέρπετα, ὡς εἰσίδοιτο νοήσας
Ἀγλαΐην· χαλκῷ γὰρ ἀνέπλεκε κάλλεος αὐγάς,
Τοῖος ἐὼν οἷός περ ἐν ἀρχῇ μητέρι μύθων
Ἀνδράσι κεκρυπτόμενος πολύφρονα μῆτιν ἀγείρων.

Εἰς χρυσήν.

Χρύσης δ' αὖ ἱερὰς πέλας ἵζατο, δεξιτερῇ μὲν
Σκῆπτρον ἀναρχόμενος φοινήϊον· ἐν δ' ἑτέρῃσιν
Στέμμα φέρων, μεγάλῃ δ' ἐκεκασμένος ἐρεπτὸ μορφῆς,
Οἷά περ ἡρώων ἱερὸν γένος. ὡς δοκέω δέ,
Ἀργείῳ ἰκέτευε· βαθὺς δέ οἱ ἐκ θυμὸν ἔθηκε πόνων,
Κατθανάτης ἄπλατος ἐσύρετο βόστρις ἐθείρης.

Εἰς ἰδιλίην καίσαρα.

Καῖσαρ δ' ἐγγὺς ἔλαμπεν Ἰούλιος, ὅς ποτε Ῥωμὴν
Ἀντιβίων ἔσχεν ἀμετρήτοισι βοείαις.
Ἀϊδίην μὲν βλωσυρῶπιν ἐπτωμαδὸν ἦεν ἀείρων,
Δεξιτερῇ δ' ἐρανὸν ἀγάλλετο χερὶ κομίζων,
Οἷα ζεὺς νέος αὖτε κατ' αὐσονίοισιν ἀκούων.

Εἰς πλάτωνα.

Εἰσήκει δὲ πλάτων θεοείκελος, ὃν πρὶν ἀθηναῖς
Δεῖξας χρυσείην κέλευθα θεοκραάντων ἀρετάων.

Εἰς ἀφροδίτην.

Ἄλλην δ' αὖ πατέρεσσιν ἴδον χρυσῆν ἀφροδίτην,
Γυμνὴν παμφανόωσαν· ὅπῃ στέρνων δὲ θεαίνης,
Ἀὐτὴν ἐξ ὑπάτοιο χυθεὶς ἐλελίζετο κεστός.

Εἰς ἑρμαφρόδιτον.

Ἱστατο δ' ἑρμαφρόδιτος ἐπήρατος, οὔθ' ὅλος ἀνὴρ,
Οὔτε γυνή. μικτὸν γὰρ ἔην βρέτας. ἢ τάχα κοῦρον
Κύπριδος εὐκόλποιο καὶ ἑρμάωνος ἐνίψεις.
Μαζοὺς μὲν σφριγόωντας ἐδείκνυεν οἷά τε κούρη·
Σχῆμα δὲ πᾶσιν ἔφαινε φυτοσπόρον ἄρσενος αἰδοῦς,
Ξυνῆς ἀγλαΐης κεκερασμένα σήματα φαῖνον.

Εἰς ἤριννᾱν.

Παρθενικὴ δ' ἤρῑννα λιγύθροος ἕζετο κούρη,
Οὐ μίτον ἀμφαφόωσα πολύπλοκον, ἀλλ' ἐνὶ σιγῇ
Γιερικῆς ῥαθάμιγγας ἀποστα λάουσα μελίσσης.

Εἰς τέρπᾱνδρον.

Μήτε λίπῃς τέρπᾱνδρον ἐΰθροον· οὗ τάχα φαίης
Εμπνοον, οὐκ ἄφθογγον ἰδεῖν βρέτας. ὡς γὰρ ὀΐω,
Κινυμέναις πραπίδεσσιν ἀνέπλεκε μύστιδα μολπὴν,
Ὡς ποτε δινήεντος ἐπ' εὐρώτᾱο ῥοάων
Μυστιπόλῳ φόρμιγγι κατεπρήϋνεν ἀείδων
Αγχεμάχων κακότητας ἀμῡκλαίων ναετήρων.

Εἰς περῑκλῑῡ.

Ηγασάμην δ' ὁρόων σε περίκλεες, ὅττι καὶ αὐτῷ
Χαλκῷ ἀναυδήτῳ δημηγόρον ἦθος ἀνάπτεις,
Ὡς ἔτι κεκροπίδῃσι θεμιστεύων πολιήταις,
Οὐ μόθον ἐντύνων πελοπήϊον, ἱστάμενος δέ.

Εἰς πυθαγόρᾱν.

Επρεπε πυθαγόρης σάμῑος σοφός· ἀλλ' ἐν ὀλύμπῳ
Ενδιάειν ἐδόκευε, (φύσις δ' ἐβιάζετο χαλκοῦ)
Γλημμύρων νοερῇσι μελιηδόσιν. ὡς γὰρ ὀΐω,
Οὐρανὸν ἀχράντοισιν ἐμέτρεε μοῦνον ὀπωπαῖς.

Εἰς στησίχορῡν.

Στησίχορῡν δ' ἐνόησα λιγύθροον, ὅν ποτε γαῖα
Σικελίη μὲν ἔφερβε, λύρης δ' ἐδίδαξεν ἀπόλλ῱ν
Αρμονίην, ἔτι μητρὸς ἐνὶ σπλάγχνοισιν ἐόντα.
Τοῦ γὰρ τικτομένοιο, καὶ ἐς φάος ἄρτι μολόντος,
Εκποθεν ἱερόφοιτος ἐπὶ στομάτεσσιν ἀηδὼν

Λάθρη ἐφεζομένη λιγυρὸν ἀνεβόμβεε μολπήν.

Εἰς δημόκριτον.

Χαῖρέ μοι ἀβδήρων δημόκριτε κῦδος ἀοιδῆς,
Ὅτι σὺ καλλιτόκοιο φυῆς ἐφέσαο θεσμούς,
Λεπτὰ δ' ἀκρίνων πολυίδμονος ὄργια μούσης.
Αἰεὶ δὲ σφαλερὰς ἐλάβες βιότοιο κελεύθους·
Εὖ εἰδὼς ὅτι πάντα γέλων τὸν δαμείεται αἰών.

Εἰς λιθάκλιν, καὶ εἰς αὔλιν, καὶ εἰς αἰγείαν.

Ηθάκλεης δ' ἀίδηλον ἐδείκνυε κύκλον ἑταίρης,
Μῆλα λεοντοφόνῳ παλάμῃ χεύσασα κομίζων,
Γαίης ὅλβια δῶρα λιβυστίδος. ἐγγύθι δ' αὐτῆ
Πηγάδος ἀρήτειρα πέλασε πρόθυρον αὐγῆ,
Φᾶρος ὑπαιείλασα κατωμαδόν· οὐ γὰρ ἐθείρας
Κηδέμνῳ σωφέρνῃ ἑὰς δ' ἀνετείνετο χεῖρας,
Οἷά τε κικλήσκουσα διὸς γλαυκώπιδα κούρην
Ἀρχαδίκης τεγέης ὑπὸ δηθάδας. ἴλαθι γαίης
Τρωϊάδος βλάστημα θαλασσαίοιο, ἵλαθι λάμπων
Αἰνείᾳ, πρώων βυσσοφόρε. σαῖς γὰρ ὀπωπαῖς
Ἁγλαΐης πνείουσα θεὴ τὸν ἐλείβεται αἰδώς,
Θέσκελον ἀγλαΐζουσα γλάος χρυσῆς ἀφροδίτης.

Εἰς χρέουσαν.

Ηγασάμην δὲ χρέουσαν ἰδὼν πενθήμονι χώρῳ,
Σύλλογον αἰνείαο κατάσκιον. ἀμφὶ γὰρ αὐταῖς
Ἀμφοτέραις κρήδεμνον ἐφιππώσασα πρόφασις,
Γαῖα πέριξ ἐκάλυψε, πόδας δ' ἐχέεν χρόα πέπλῳ,
Οἷά τε μυσομένη. τὰ δὲ χάλκεα δάκρυα νύμφης
Ἀρειδυσίκτητον ἐμαρτύροντο λιθώλῃ,
Ἰλιόν ἀγχιόροισιν ἐγκρύον ἀασιδώταις.

Εἰς ἔλενον.

Οὐθ' ἔλενος κτεάνων ἀπεπαύετο· πατρὶ δὲ νηλὴς
Φαίνετο, δινεύων ἔτι που χόλον. ἰῶ μυθὰ ἀείρων
Δεξιτερῇ φιάλῃ ὑπολοίβιον· ὡς δοκέω δὲ,

Εσθλὰ μὲν ἀργείοις μαντεύετο· καὶ δὲ τιθήνης
Αθανάτοις ἠρᾶτο πανύστατα σήματα φαίνειν.

Εἰς ἀνδρομάχην.

Ανδρομάχη δ' ἕστηκε ῥοδόσφυρος ἠετιώνη,
Οὔτι γόον σταλάουσα πολύστονον. ὡς γὰρ ὀΐω,
Οὔπω ἐνὶ πτολέμῳ κορυθαίολος ἤριπεν ἕκτωρ,
Οὐδὲ φέρεσσα κίων ὑπερήνορες υἷες ἀχαιῶν
Δαρδανίην ξύμπασαν ἐληΐσσαντο τιθήνην.

Εἰς μενέλαον.

Ην δ' ἐσιδεῖν μενέλαον ἀρήϊον, ἀλλ' ἐπὶ νίκῃ
Γηθόσυνον. σχεδόθεν γὰρ ἐθάλπετο χάρματι πολλῷ,
Δερκόμενος ῥοδόπηχυν ὁμόφρονα τῶν δαρεώνην.

Εἰς ἑλένην.

Ηγασάμην δ' ἑλένης ἐρατὸν τύπον, ὅττι καὶ αὐτῷ
Χαλκῷ κόσμον ἔδωκε πανίμερον· ἀγλαΐη γὰρ
Επνεε θερμὸν ἔρωτα καὶ ἀψύχῳ ἐνὶ τέχνῃ.

Εἰς ὀδυσσέα, καὶ εἰς ἑκάβην.

Γυκναῖς δὲ παραπίδεσσιν ἀγάλλετο δῖος ὀδυσσεύς.
Οὐ γὰρ ἔην ἀπάνευθε πολυστρέπτοιο μενοινῆς,
Αλλ' ἔτι κόσμον ἔφαινε σοφῆς φρενός. ἦν δ' ἐνὶ θυμῷ
Καγχαλόων. τροίην γὰρ ἐγήθεεε πᾶσαν ὀλέσσας
Ησι δολοφροσύνῃσι. σὺ δ' ἕκτορος ἔννεπε μῆτερ,
Τίς σε πολυτλήμων ἑκάβη τόσα δάκρυα λείβειν
Αθανάτων ἐδίδαξεν ἀφωνήτῳ ἐνὶ κόσμῳ;
Οὐ δέ σε χαλκὸς ἔπαυσεν οἰζύος, οὐδέ σε τέχνη
Απνοος οἰκτείρασα δυσαλγέος ἔσχεθε λύσσης·
Αλλ' ἔτι δακρυχέουσα παρίστασαι· ὡς δὲ δοκεύω,
Οὐκ ἔτι δυστήνου μόρον ἕκτορος οὐδὲ ταλαίνης
Ανδρομάχης βαρὺ πένθος ὀδύρεαι, ἀλλὰ πεσοῦσαν
Παρίδα σήν. φᾶρος γὰρ ἐπικρεμὲς ἀμφὶ προσώπῳ
Πήματα μὲν δείκνυσιν· ἀπαγγελέουσι δὲ πέπλοι
Γένθος ὑποβρύχιον, κεχαλασμένοι ἄχρι πεδίλων.
Αλγεϊ γὰρ πυμάτῳ δέδεσαι φρένα· καὶ δὲ παρειῆς

Δάκρυα μὲν σταλάεις· τὸ δὲ δάκρυον ἔσβεσε τέχνη,
Ἄπλετον ἀγγέλλουσα δυσαλθέος αὐχμὸν ἀνίης.

Εἰς κασάνδρᾱν.

Κασάνδρῑν δ' ἐνόησα θεοπρόπον· ἀλλ' ἐνὶ σιγῇ
Μεμφομένη γενετῆρα, σοφῆς ἀνεπίμπλατο λύσσης,
Οἷά τε θεσπίζουσα πανύστατα πήγματα πάτρης.

Εἰς πύῤῥῑν.

Πύῤῥῑς δ' ἀλλος ἔην πτολιπόρθιος, οὐκ ἐπὶ χαίτης
Ἱπποκόμον τρυφάλειαν ἔχων, οὐκ ἔγχος ἑλίσσων·
Ἀλλ' ἄρα γυμνὸς ἔλαμπε, καὶ ἄχνοον εἶχεν ὑπήνην.
Δεξιτερὴν δ' ἀνέτεινεν ἑὴν ἐπιμάρτυρα νίκης,
Λοξὰ πολυξείνῑν βαρυδάκρυον ὄμμασι λεύσσων.

Εἰς πολυξένῑν.

Εἰπὲ πολυξείνη δὺς πάρθενε, τίς τοι ἀνάγκη
Χαλκῷ ἐν ἀφθόγγῳ κεκρυμμένα δάκρυα λείβειν;
Πῶς δὲ τεῷ κρήδεμνον ἐπειρύσασα προσώπῳ,
Ἱστασαι αἰδομένῃ μὲν ἀλίγκιος, ἀλλ' ἐνὶ θυμῷ
Γένθος ἔχεις; μὴ δή σε τεὸν πτολίεθρον ὀλέσσας
Λήϊδα πύῤῥῑς ἔχει φθιώτῑος; οὐδέ σε μορφὴ
Ρύσατο, τοξεύσασα νεοπτολέμοιο μενοινῇ,
Ἤποτε θηρεύσασα τεοῦ γενετῆρα φονῆος,
Εἰς λίνον αὐτοκέλευστον ἀελπέος ἦγεν ὀλέθρου;
Ναὶ μὰ τὸν ἐν χαλκῷ νοερὸν τύπον, εἴνύ σε τοίην
Ἔδρακε πύῤῥῑς ἄναξ, τάχα κεν ξυνήονα λέκτρων
Ἤγετο, πατρῴης προλιπὼν μνημήϊα μοίρης.

Εἰς αἰᾱντα τὸν λοκρόν.

Ἠγασάμην δ' αἰᾱντα, τὸν ὀβριμόθυμος ὀϊλεὺς
Λοκρίδος ἐσπέρμηνε πελώριος ἕρκος ἀρούρης.
Φαίνετο μὲν νεότητι κεκασμένος. οὐδὲ γὰρ ἦεν
Ἀνθεῖ λαχνήεντι γενειάδος ἄκρα χαράξας.
Γυμνὸν δ' εἶχεν ἅπαν στιβαρὸν δέμας· ἠνορέῃ δὲ
Βεβριθὼς, ἐλέλιζε μαχήμονος οἶστρον ἐνῡοῖς.

Εἰς πάρῑν.

Αἰδομένῳ μὲν ἔοικεν ὁ βουκόλος· εἶχε δ' ὀπωπὴν

Π λαζομθίω ἑτέρωσε δυσίμερος. ἀδετο γλῶ που
Ο ἰνώνιω βαρύδακρυ ἰδεῖν κεδριώιδα νύμφιω.

Εἰς οἰνώνιω.

Ο ἰνώνη δὲ χόλῳ φρένας ἕλξεε, ἕλξεε πικρῷ
Ζ ήλῳ θυμὸν ἔδουσα· πάειν δ' ἐκέλευε λαθοῦσα
Ο μματι μαινομθίῳ. κρυφίην δ' ἤγλαεν ἀπειλήν,
Δ εξιτερῇ βαρύποτμον ἀναινομθίη ωδακείτιω.

Εἰς μίλωνα.

Η δὲ παλαισμοσύνῃω δεδαημθίος ὄβριμος αἰήρ.
Ε ἰ δὲ φίλων ἤκουε, πελώριος· εἴ τε φιλάμμιων,
Ε ἴ τε μίλωι σικελῆς ἔρυμα χθονὸς, οἷδεν Ἀπόλλων.
Ο ὐ γὰρ ἐγὼ δεδάηκα Δράκριναι, καὶ ἀΐσσαι
Ο ὠμα θαρσαλέου κλυτὸν αἰέρος· ἀμφὰ δὲ ἔμπης
Ε πνεεν ἰωρέιω. λάσιος δέ οἱ εἴλκεο πώγων,
Κ αὶ φόβον ἠκόντιζον ἀεθλητῆρα πρέπει,
Κ αὶ κεφαλῆς ἔφειδον ἐφεσάδες. ἀμφὶ δὲ πυκνοῖς
Μ υῶνες μθέεσιν αἰοιδάμονος θαθέντες
Τ ρηχαλέοι δοιοὶ δὲ σείωισα μθίων παλαμάων
Ε ὐρέες ἐσφηκῶντο βραχίονες, ἠύτε πέτραι,
Κ αὶ παχὺς ἀλκήεντι τένων ἐπαμίσατο νώτῳ,
Α ὐχένος ὑγραμπλοιο θεὶ πλατὺν αὐλὸν ἀείρων.

Εἰς δάρητα.

Α ὐδηέω δὲ δάρης ἐζώννυτο χεῖρας ἱμάντι,
Π υγμαχίης κήρυκα φέρων χθόνα· ἰωρέης δὲ
Ε πνεε θερμὸν ἄημα πολυφρέπτοισιν ὀπωπαῖς.

Εἰς ἐντελλῆν.

Ε ντελλῆς δὲ δάρητος ἐναντίον ὄμμα τιτάινων,
Γ υιτόθεις μύρμηκας ἐμαίνετο χερσὶν ἑλίσσων·
Π υγμαχίης δ' ἄδινε φόνου διψῶσαν ἀπειλήν.

Εἰς ἀφείδημον.

Δ έρκεό μοι ἀφείδημον, ὃς ἀθλοθετῆρας ἁπάντας
Κ εκροπίδαι κρατὸν εἶχεν ἑῆς πειθήμονα βουλῆς.

Εἰς μθαμπόδα.

Η κεν ἰδὼν ἀγάσαιο μθαμπόδα· μαιτίπολον μθὴ

Ιερὸν εἶδος ἔφαινεν. ἔοικε δὲ θέσπιδος ὀμφῆς
Σιγηλοῖς στομάτεσσι θεοπρόπον ἆσθμα τιτάνειν.

Εἰς πάνθοον.

Πάνθοος ἦν τρώων βουληφόρος, ἀλλ' ἔτι δεινὴν
Οὔπω μῆτιν ἔπαυσε κατ' ἀργείων στρατιάων.

Εἰς θυμοίτην.

Δημογέρων δὲ νόημα πολύπλοκον εἶχε θυμοίτης,
Αμφασίης πελάγεσσιν ἐξιμένος. ἦ γὰρ ἐῴκει
Σκεπτομένῳ τινὰ μῆτιν ἔτι τρώεσσιν ὑφαίνειν.

Εἰς λάμπωνα.

Λάμπων δ' ἀχνυμένῳ ἐνδιγίκιος ἦεν ἰδέσθαι.
Οὐ γὰρ ἔτι φρεσὶν εἶχε κυλινδομένοιο κυδοιμοῦ
Τειρομένοις τρώεσσι τεκεῖν παιήονα βουλήν.

Εἰς κλύτιον.

Εἱστήκει κλύτιος μὲν ἀμήχανος· εἶχε δὲ δοιὰς
Χεῖρας ὁμοπλεκέας, κρυφίης κήρυκας ἀνίης.

Εἰς ἰσοκράτην τὸν ῥήτορα.

Χαῖρε φάος ῥήτρης ἰσόκρατες, ὅττι σὺ χαλκῷ
Κόσμον ἄγεις. δοκέεις γὰρ ἐπίφρονα μήδεα φαίνειν,
Εἰ καὶ ἀφωνήτῳ σε πόνῳ χαλκεύσατο τέχνη.

Εἰς ἀμφιαράον.

Εστενε δ' ἀμφιαρηος ἔχων περιλαμπέα χαίτην
Στέμματι δαφναίῳ. κρυφίην δ' ἐλέλιζεν ἀνίην,
Θεσπίζων ὅτι πᾶσι λυρόκτιτος ἀνδράσι θήβη
Ανδράσιν ἀργείοισιν ὑπότροπον ἦμαρ ὀλέσσει.

Εἰς ἀγλαόν.

Αγλαὸς ἑστήκει χρησμολόγος, ὅντινα φασὶ
Μαντιπόλου γενετῆρα θεοφραδέος πολυΐδου.
Εὐπετάλῳ δὲ κόμας ἐστεμμένος ἔπρεπε δάφνῃ.

Εἰς ἀπόλλωνα.

Εἶδον ἀκειρεκόμην ἕκατον θεὸν, εἶδον ἀοιδῆς
Κοίρανον, ἀτμήτοισι κεκασμένον ἄνθεσι χαίτην.
Εἶχε γὰρ ἀμφοτέροισι κόμης μεμερισμένον ὤμοις
Βόστρυχον αὐτοέλικτον. ἕλισσε δὲ μάντιν ὀπωπὴν,

Οἷά τε μαντοσύνῃ μεροπήϊα πήματα λύων.

Εἰς αἰαῖτα τὸν μέγαν.

Γυμνὸς δ' ὀβριμόθυμος ἔην τελαμώνιος αἴας,
Μήπω πρᾶτον ἴουλον ἔχων. ἐκέκαστο δὲ μορφῆς
Ἄνθεσι πατρῴης· πλοκάμους δ' ἐσφίγγετο μίτρῃ.
Οὐ γὰρ ἔην τρυφάλειαν ἔχων, οὐκ ἔγχος ἑλίσσων,
Οὐ σάκος ἑπταβόειον ἐπωμαδόν· ἀλλὰ τοκῆος
Θαρσαλέην ἀνέφαινεν ἀγηνορίην τελαμῶνος.

Εἰς σαρπηδόνα.

Ἱστατο σαρπηδὼν λυκίων πρόμος· ἠνορέῃ μὲν,
Φρικτὸς ἔην· ἁπαλοῖς δὲ νεοτρεφέεσσιν ἰούλοις
Οἴνοπος ἄκρα χάρασσε γενειάδος· ἀμφὶ δὲ χαίταις
Εἶχε κόρυν. γυμνὸς μὲν ἔην δέμας, ἀλλ' ἐνὶ μορφῇ
Σπέρμα διὸς σήμαινεν. ἀπ' ἀμφοτέρης γὰρ ὀπωπῆς
Μαρμαρυγὴν ἀνέπεμπεν ἐλευθερίου γενετῆρος.

Εἰς ἀπόλλωνα.

Καὶ τρίτος εὐχαίτης τριποδιλάλος ἦεν ἀπόλλων,
Καλὸς ἰδεῖν. πλίκαμος γὰρ ἕλιξ ἐπιδέδρομεν ὤμοις
Ἀμφοτέροις· ἐρατὴ δὲ θεοῦ διεφαίνετο μορφὴ,
Χαλκῷ κόσμον ἄγουσα· θεὸς δ' ἐτίταινεν ὀπωπὴν,
Οἷά τε μαντιπόλοισιν ἐπὶ τριπόδεσσι δοκεύων.

Εἰς κύπριν.

Καὶ τριτάτην θάμβησα πάλιν χρυσῆν ἀφροδίτην,
Φαρεῖ κόλπον ἔχουσαν ἐπίσκιον· ἀμφὶ δὲ μαζοῖς
Κεστὸς ἕλιξ κεχάλαστο, χάρις δ' ἐνενήχετο κεστῷ.

Εἰς ἀχιλλέα.

Αἰχμητὴς δ' ἀνίουλος ἐλάμπετο δῖος ἀχιλλεὺς,
Γυμνὸς ἐὼν σακέων. ἐδόκευε μὲν ἔγχος ἑλίσσειν
Δεξιτερῇ, σκαιῇ δὲ σάκος χάλκειον ἀείρειν
Σχήματι τεχνήεντι. μόθου δ' ἀπέπεμπεν ἀπειλὴν,
Θαρσεῖ τολμήεντι τεθηγμένος. αἱ γὰρ ὀπωπαὶ
Γνήσιον ἦθος ἔφαινον ἀρήϊον αἰακιδάων.

Εἰς ἑρμῆν.

Ἦν δὲ καὶ ἑρμείης χρυσόῤῥαπις· ἱστάμενος δὲ,

Δεξιτερῇ πτερόεντος ἀνείρυε δεσμὰ πεδίλου,
Εἰς ὁδὸν ἀΐξαι λελιημένος. εἶχε γὰρ ἤδη
Δεξιὸν ὀκλάζοντα θοὸν πόδα. τῷ ἔπι λαιὴν
Χεῖρα τὰ θεῖσε, ἔπεμπεν ἐς αἰθέρα κύκλον ὀπωπῆς,
Οἷά τε πατρὸς ἄνακτος ἐπιστοπόωντος ἀκούων.

Εἰς ἀπυλήϊον τὸν μάγον.

Καὶ νοερῆς ἄφθεγκτα λατινίδος ὄργια μούσης
Ἄζετο παπταίνων ἀπυλήϊος, ὅντινα μύστην
Αὐσονὶς ἀῤῥήτου σοφίης ἀνεθρέψατο σειρήν.

Εἰς ἄρτεμιν.

Φοίβου δ' οὐρεσίφοιτος ὁμόγνιος ἵστατο κούρη
Ἄρτεμις, ἀλλ' οὐ τόξον ἑκηβόλον οὐδὲ φαρέτρην
Ἰοδόκον κατέχουσα κατωμαδόν. ἦν δ' ἐπὶ γούνων
Παρθένιον λεγνωτὸν ἀναζωσθεῖσα χιτῶνα,
Καὶ τριχὸς ἀκρήδεμνον ἀνιεμένη πλόκον αὔραις.

Εἰς ὅμηρον.

Ἔμφρονα χαλκὸν ὅμηρος ἐδείκνυεν, οὔτε μενοινῆς
Ἄμμορον, οὔτε νόου κεχρημένον, ἀλλ' ἄρα μουνὴς
Φωνῆς ἀμβροσίης. ἀνέφαινε δὲ θυάδα τέχνην,
Ἠκαὶ χαλκὸν ἔχευεν ὁμοῦ θεὸς εἴδει μορφῆς.
Οὐ γὰρ ἐγὼ κτὴ θυμὸν ὀΐομαι ὅττι μιν ἀνὴρ
Ἐργοπόνος χάλκευσε παρ' ἐσχαρεῶνι θαάσσων,
Ἀλλ' αὐτὴ πολύμητις ἀνέπλασε χερσὶν ἀθηνῆ,
Εἶδος ἐπισταμένη τό, τ' ἐῴκεεν. ἐν γὰρ ὁμήρῳ
Αὐτὴ ναιετάουσα σοφὴν ἐφθέγγετο μολπὴν,
Σύνομος ἀπόλλωνι. πατὴρ δ' ἐμὸς, ἰσόθεος φὼς,
Ἵστατο θεῖος ὅμηρος. εἴκτο μὲν ἀνδρὶ νοῆσαι
Γηραλέῳ, τὸ δὲ γῆρας ἔην γλυκύ. τοῦτο γὰρ αὐτῷ
Πλειοτέρην ἔσταξε χάριν· κεκέραστο δὲ κόσμῳ
Αἰδοίῳ τε φίλῳ τε· σέβας δ' ἀπελάμπετο μορφῆς.
Αὐχένι μὲν κύπτοντι γέρων ἐπεσύρετο βότρυς,
Χαίτης εἰσοπίσω πεφορημένος· ἀμφὶ δ' ἀκουὰς
Πλαζόμενος κεχάλαστο. κάτω δ' εὐρύνετο πώγων
Ἀμφιταθεὶς, μαλακὸς δὲ καὶ εὔτροχος. οὐδὲ γὰρ ἦεν

